85. Δύ' ἡμιόνους, une paire de mules. Ménélas compte la paire comme un seul objet; car on attelait toujours les mules deux à deux, et on ne les montait pas. Eustathe : δύο μὲν λέγει διὰ τὴν ξυνωρίδα· οὐ γὰρ ἐκελήτιζον οἱ ἥρωες τότε. — Ménélas parle de mules, et non de chevaux, parce qu'il sait qu'elles vaudront mieux que des chevaux pour Télémaque. Eustathe : ἡμιόνους δὲ, ἐπειδὴ φθάσας ἀπείπατο τοὺς ἵππους ὁ Τηλέμαχος (IV, 601-608), διὰ τὸ μηδὲ ἱππήλατον εἶναι τὴν Ἰθάκην. — Il y a ici, dans les *Scholies* H, une dernière note d'athétèse : καὶ ταῦτα ἀπρεπῆ διδάσκεσθαι πρὸς Μενελάου τὸν Τηλέμαχον τὸ ἀπαιτεῖν. Cette note se rapporte aux trois ou quatre derniers vers du discours, et non pas au vers 85 uniquement. Si elle est d'Aristonicus, et si elle provient du commentaire d'Aristarque, c'est un nouvel exemple des erreurs où tombaient quelquefois les Alexandrins par excès de délicatesse. Sans doute Ménélas dit des choses qui ne sont pas d'un ordre moral très-élevé. Mais il parle selon les idées de son temps. Les héros aiment le solide. Ce ne sont pas des sectateurs de l'idéal; ce sont plutôt des utilitaires.

βούλομαι ἤδη νεῖσθαι ἐφ' ἡμέτερ'· οὐ γὰρ ὄπισθεν
οὖρον ἰὼν κατέλειπον ἐπὶ κτεάτεσσιν ἐμοῖσιν·
μὴ πατέρ' ἀντίθεον διζήμενος αὐτὸς ὄλωμαι, 90
ἤ τί μοι ἐκ μεγάρων κειμήλιον ἐσθλὸν ὄληται.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε βοὴν ἀγαθὸς Μενέλαος,
αὐτίκ' ἄρ' ᾗ ἀλόχῳ ἠδὲ δμωῇσι κέλευσεν
δεῖπνον ἐνὶ μεγάροις τετυκεῖν ἅλις ἔνδον ἐόντων.
Ἀγχίμολον δέ οἱ ἦλθε Βοηθοΐδης Ἐτεωνεύς, 95
ἀνστὰς ἐξ εὐνῆς, ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ·
τὸν πῦρ κῆαι ἄνωγε βοὴν ἀγαθὸς Μενέλαος,
ὀπτῆσαί τε κρεῶν· ὁ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας.

88. Βούλομαι, je préfère. Ce sens est indiqué, et par la proposition de Ménélas, et par les motifs de refus que va alléguer Télémaque. — Νεῖσθαι. C'est la seule fois qu'Homère ait contracté ce mot. — Ἐφ' ἡμέτερ(α), vers ce qui est à nous : vers les biens de ma famille. Ajoutez : au lieu de courir le monde pour en amasser d'autres. — Ὄπισθεν, par derrière : derrière moi.

89. Οὖρον, un gardien. — Ἰών, m'en allant : à mon départ. Si Télémaque était parti pour un long voyage, comme celui que propose Ménélas, il n'aurait pas manqué de prendre toutes les précautions nécessaires.

90. Μή, *ne forte*, je craindrais que. — Διζήμενος, sous-entendu ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος, vers 80.

91. Ἤ τί μοι.... C'est la même pensée qu'au vers 19. Ici comme là il faut entendre d'une façon générale. Télémaque n'a point de trésor particulier. Didyme (*Scholies* H) : ἀντὶ τοῦ, τὸν βίον μου ἀπολέσῃ (τις). τοῦτο δὲ ἀγνοήσαντες προσένειμαν τοῖς ἑξῆς· ὅ ἐστι σμικρολόγου, ὡς Ἀριστοφάνης φησί. — Quelques-uns concluent de ceci qu'Aristophane de Byzance prononçait l'athétèse contre le vers 91, de même qu'il l'avait prononcée contre le vers 19. Bekker : « Videtur Aristophanes « spurium censuisse. » C'est une erreur. Didyme rappelle simplement l'expression dont s'est servi Aristophane de Byzance à propos du vers 19, et dit qu'il ne faut pas prêter à Télémaque une préoccupation mesquine. Le fils d'Ulysse craint une dilapidation, et non point la perte de tel objet spécial à lui appartenant. J'ajoute que le vers 91 est absolument indispensable, et que, si on le supprimait, tout ce qui suit νεῖσθαι ἐφ' ἡμέτερ(α) serait dénué de sens.

93. Ἦ ἀλόχῳ. C'est la maîtresse de maison qui a le devoir de tout ordonner. *Scholies* H et Q : οὐχ ἵνα αὐτουργήσῃ, ἀλλ' ἵνα κελεύσῃ καὶ διδάσκῃ μὴ δίχα γυναικὸς κελεύειν τι κατὰ οἶκον.

94. Δεῖπνον.... Voyez plus haut le vers 77 et les notes sur ce vers.

95-98. Ἀγχίμολον.... Il paraît que quelques anciens proposaient de retrancher ces quatre vers, sous prétexte qu'Étéonée devait être un des habitants du palais. Didyme fait observer qu'il n'y a aucune obligation à ce que des serviteurs qui ne sont pas des esclaves proprement dits habitent sous le toit de leur maître; et il n'admet point l'athétèse : οὐκ ἀναγκαῖον ἀθετεῖν. οὐ γὰρ δοῦλοι οἱ θεράποντες, ὥστε ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκεῖν. Cette note, dans les *Scholies* H et Q, est afférente au vers 95. Mais le vers 95 ne pourrait disparaître seul : il entraînerait avec lui tout ce qui concerne Étéonée.

95. Βοηθοΐδης Ἐτεωνεύς. Il a été question de ce serviteur, IV, 22-36.

96. Ἐπεὶ οὐ πολὺ ναῖεν ἀπ' αὐτοῦ. Le poëte explique comment Étéonée se trouve à point dès l'aube chez Ménélas, sans qu'on ait eu besoin de l'envoyer quérir. Le serviteur a entendu le mouvement qui se fait chez son maître.

98. Κρεῶν, génitif partitif : des viandes. Étéonée prendra, dans les provisions de chair crue, c'est-à-dire dans ce qui

Αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,
οὐκ οἶος, ἅμα τῷγ' Ἑλένη κίε καὶ Μεγαπένθης. 100
Ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι κειμήλια κεῖτο,
Ἀτρείδης μὲν ἔπειτα δέπας λάβεν ἀμφικύπελλον,
υἱὸν δὲ κρητῆρα φέρειν Μεγαπένθε' ἄνωγεν
ἀργύρεον· Ἑλένη δὲ παρίστατο φωριαμοῖσιν,
ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, οὓς κάμεν αὐτή. 105
Τῶν ἕν' ἀειραμένη Ἑλένη φέρε, δῖα γυναικῶν,
ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος,
ἀστὴρ δ' ὣς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων.
Βὰν δ' ἰέναι προτέρω διὰ δώματα, ἕως ἵκοντο
Τηλέμαχον· τὸν δὲ προσέφη ξανθὸς Μενέλαος· 110
Τηλέμαχ', ἤτοι νόστον, ὅπως φρεσὶ σῇσι μενοινᾷς,
ὥς τοι Ζεὺς τελέσειεν, ἐρίγδουπος πόσις Ἥρης.
Δώρων δ', ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,

reste des victimes de la veille, la quantité nécessaire à rôtir. Didyme (*Scholies* B et V) : τῶν ἀπολελειμμένων ἔτι ἀπαρασκευάστων.

99. Αὐτὸς.... On a vu ce vers dans l'*Iliade*, VI, 288 et XXIV, 191. — Θάλαμον. Il s'agit, comme au vers II, 337, d'un magasin, d'un trésor. — Κηώεντα. Parmi les objets précieux qui remplissent le magasin, il y a des parfums. De là l'épithète.

100. Μεγαπένθης. On se rappelle qu'il était fils de Ménélas et d'une esclave. Voyez les vers IV, 10-12.

101. Ὅθι, c'est-à-dire ἐς θάλαμον ἐν ᾧ,

105. Ἔνθ(α), *ubi*, où : dans lesquels. — Ἔσαν οἱ, étaient à elle : elle avait. Suivant Ameis, οἱ est article ou démonstratif : οἱ πέπλοι, *sie die Gewænder*. Cela n'est pas vraisemblable. Des deux façons, le sens est le même; mais l'explication vulgaire est bien plus naturelle. Il est vrai qu'Ameis a préalablement traduit ἔσαν seul comme nous traduisons ἔσαν οἱ : *ihr waren*, das ist *sie hatte*. Mais ἔσαν seul n'indique qu'un fait de présence. — Οὓς κάμεν αὐτή. Ce n'est pas depuis son retour à Sparte, qui est tout récent, mais avant sa fuite avec Pâris et durant son séjour à Ilion. *Scholies* H : λείπει ἡ πρίν. Cette note est le résumé de la réponse que faisaient les lytiques aux chicanes des enstatiques sur κάμεν αὐτή. *Scholies* Q : αἰτιῶνται ὡς οὐκ ἐσχηκυίας καιρὸν τῆς Ἑλένης ἐργάσασθαι. νῦν γὰρ ἧκε. δύναται μέντοι καὶ πρὸ τοῦ ἀπᾶραι ἐργάσασθαι καὶ ἐξ Ἰλίου κεκομικέναι. Hélène avait certainement rapporté avec elle ses ouvrages les plus précieux, et surtout ce beau châle à figures décrit dans l'*Iliade*, III, 125-128.

106-108. Τῶν ἕν' ἀειραμένη.... Ces trois vers, sauf changements dans le premier, sont empruntés à l'*Iliade*, VI, 293-295. Voyez les notes sur ce passage. Nous donnerons seulement une petite addition. *Grand Étymologique* Miller : ποικίλμασι (vers 107)· τοῖς εὖ κατεσκευασμένοις ἢ τοῖς ἐνυφαινομένοις ποικίλμασι, παρὰ τοῦ ποικίλον.

109. Δώματα, *vulgo* δώματος, mauvaise correction byzantine. — Ἕως ἵκοντο. Ceux qui admettent le mot εἶος, inventé par Thiersch, et qui écrivent εἶος ἵκοντο, font une faute de quantité; car dans ἵκω, à l'imparfait, la première syllabe est longue chez Homère.

111. Ὅπως, *ut*, ainsi que.

112. Ὡς (*sic*, ainsi) correspond à ὅπως.

113-119. Δώρων.... Répétition des vers IV, 613-619. Voyez les notes sur ce passage, et particulièrement ce qui concerne la leçon ὅτε ὅς, vers 618.

δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν.
Δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ 115
ἐστὶν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται·
ἔργον δ' Ἡφαίστοιο· πόρεν δέ ἑ Φαίδιμος ἥρως,
Σιδονίων βασιλεὺς, ὅτε ὃς δόμος ἀμφεκάλυψεν
κεῖσέ με νοστήσαντα· τεὶν δ' ἐθέλω τόδ' ὀπάσσαι.
Ὣς εἰπὼν ἐν χειρὶ τίθει δέπας ἀμφικύπελλον 120
ἥρως Ἀτρείδης· ὁ δ' ἄρα κρητῆρα φαεινὸν
θῆκ' αὐτοῦ προπάροιθε φέρων κρατερὸς Μεγαπένθης,
ἀργύρεον· Ἑλένη δὲ παρίστατο καλλιπάρῃος
πέπλον ἔχουσ' ἐν χερσὶν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Δῶρόν τοι καὶ ἐγὼ, τέκνον φίλε, τοῦτο δίδωμι, 125
μνῆμ' Ἑλένης χειρῶν, πολυηράτου ἐς γάμου ὥρην
σῇ ἀλόχῳ φορέειν· τείως δὲ φίλῃ παρὰ μητρὶ
κεῖσθαι ἐνὶ μεγάρῳ. Σὺ δέ μοι χαίρων ἀφίκοιο
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.
Ὣς εἰποῦσ' ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων. 130
Καὶ τὰ μὲν ἐς πείρινθα τίθει Πεισίστρατος ἥρως
δεξάμενος, καὶ πάντα ἑῷ θηήσατο θυμῷ.
Τοὺς δ' ἦγε πρὸς δῶμα κάρη ξανθὸς Μενέλαος·

120. Χειρί. Ancienne variante, χερσί.

121. Ὁ a pour apposition explicative Μεγαπένθης.

122. Αὐτοῦ προπάροιθε, en avant de lui : devant Télémaque. C'était un objet trop grand et trop lourd pour le lui mettre dans la main.

125. Τοῦτο, que voici.

126. Μνῆμ' Ἑλένης χειρῶν. Virgile, *Énéide*, III, 486-487 : « Accipe et hæc, « manuum tibi quæ monumenta mearum « Sint, puer. » Didyme (*Scholies* V) : οὐ μόνον δεδωκυίας, ἀλλὰ καὶ ἐργασαμένης.

127. Φορέειν, comme ὥστε φορεῖσθαι : pour qu'il serve de parure.

128. Κεῖσθαι, l'infinitif dans le sens de l'impératif : qu'il reste. La vulgate κείσθω n'est qu'une ancienne glose. Didyme (*Scholies* H) : Ἀρίσταρχος, κεῖσθαι. Je n'hésite point à rétablir la leçon d'Aristarque. — Μοι n'est point redondant. Il marque le profond intérêt qu'Hélène porte à Télémaque : comme je le souhaite de tout mon cœur. — Ἀφίκοιο. Ancienne variante, ἀφίκηαι.

129. Οἶκον.... Répétition du vers IV, 476. Voyez les notes sur ce vers.

130. Ὣς.... Vers emprunté à l'*Iliade*, I, 446 et XXIII, 624 et 797. — Χερσί. Ancienne variante, χειρί.

132. Θηήσατο a le sens du plus-que-parfait ; car ce n'est qu'après avoir examiné les objets, que Pisistrate les serre dans le coffre. On peut même dire que καί équivaut à ἐπειδή, qui se lit deux fois avec πάντα ἑῷ θηήσατο θυμῷ (V, 76 et VII, 134).

133. Κάρη ξανθός, blond de tête : à la tête blonde. C'est le seul passage d'Homère où κάρη soit joint à ξανθός, qui n'en a nul besoin. — Bothe, au lieu de πρὸς δῶμα κάρη, propose de lire πρὸς δῶμ' ἀκαρῆ. Malheureusement pour cette correction, l'adverbe ἀκαρῆ (incontinent) n'appartient pas à la langue homérique.

ἑζέσθην δ' ἄρ' ἔπειτα κατὰ κλισμούς τε θρόνους τε.
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα 135
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
πὰρ δὲ Βοηθοΐδης κρέα δαίετο καὶ νέμε μοίρας· 140
οἰνοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
δὴ τότε Τηλέμαχος καὶ Νέστορος ἀγλαὸς υἱὸς
ἵππους τε ζεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον· 145
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Τοὺς δὲ μετ' Ἀτρείδης ἔκιε ξανθὸς Μενέλαος,
οἶνον ἔχων ἐν χειρὶ μελίφρονα δεξιτερῆφιν,
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
Στῆ δ' ἵππων προπάροιθε, δεδισκόμενος δὲ προσηύδα· 150
Χαίρετον, ὦ κούρω, καὶ Νέστορι ποιμένι λαῶν
εἰπεῖν· ἦ γὰρ ἔμοιγε πατὴρ ὣς ἤπιος ἦεν,
εἵως ἐν Τροίῃ πολεμίζομεν υἷες Ἀχαιῶν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Καὶ λίην κείνῳ γε, Διοτρεφές, ὡς ἀγορεύεις, 155

135-139. Χέρνιβα.... Répétition des vers I, 136-140. Voyez les notes sur ce passage. — Les éditeurs, à l'exemple de Wolf, mettent ici entre crochets le dernier des cinq vers; mais il n'y a aucune raison de le supprimer. Que s'il manque dans certains manuscrits, c'est inadvertance de copiste, et rien de plus.

141. Οἰνοχόει sans augment, leçon alexandrine, *vulgo* ᾠνοχόει. Didyme (*Scholies* H): οὕτω διὰ τοῦ ο.

142-143. Οἱ δ' ἐπ' ὀνέιαθ' ἑτοῖμα.... Vers perpétuellement répétés.

145-146. Ἵππους.... Voyez les vers III, 492-493. On se rappelle que là le deuxième vers est entre crochets.

147. Μετ(ά) doit être joint à ἔκιε, sans quoi il faudrait écrire, avec anastrophe, μέτ(α) paroxyton.

148-149. Οἶνον.... Vers empruntés à l'*Iliade*, XXIV, 284-285.

149. Λείψαντε, de λείβω : après avoir fait des libations.

150. Στῆ δ' ἵππων.... La première moitié de ce vers est aussi dans l'*Iliade*, à la suite des deux autres. — Δεδισκόμενος. Voyez la note du vers III, 41.

152. Εἰπεῖν, l'infinitif dans le sens de l'impératif : dites. Χαίρειν est sous-entendu. *Scholies* Q : χαίρειν δηλονότι. — Ancienne variante, εἴπετον. Cette leçon, ou plutôt cette glose, a été rejetée du texte par les Alexandrins. Didyme (*Scholies* H) : οὕτως, εἰπεῖν· οὐκ εἴπετον.

153. Εἵως.... Répétition du vers XIII, 315. Voyez les notes sur ce vers.

155. Καὶ λίην.... γε, oui certes et sans faute. — Κείνῳ, au noble héros : à Nestor.

πάντα τάδ' ἐλθόντες καταλέξομεν· αἲ γὰρ ἐγὼν ὣς
νοστήσας Ἰθάκηνδε, κιχὼν Ὀδυσῆ' ἐνὶ οἴκῳ,
εἴποιμ' ὡς παρὰ σεῖο τυχὼν φιλότητος ἁπάσης
ἔρχομαι, αὐτὰρ ἄγω κειμήλια πολλὰ καὶ ἐσθλά.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις, 160
αἰετὸς ἀργὴν χῆνα φέρων ὀνύχεσσι πέλωρον,
ἥμερον ἐξ αὐλῆς· οἱ δ' ἰύζοντες ἕποντο
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δέ σφισιν ἐγγύθεν ἐλθὼν
δεξιὸς ἤϊξε πρόσθ' ἵππων· οἱ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη. 165
Τοῖσι δὲ Νεστορίδης Πεισίστρατος ἤρχετο μύθων·
Φράζεο δή, Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
ἢ νῶϊν τόδ' ἔφηνε θεὸς τέρας ἠὲ σοὶ αὐτῷ.
Ὣς φάτο· μερμήριξε δ' Ἀρηΐφιλος Μενέλαος,
ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας. 170

156. Ὣς, *sic*, de la même façon.

157. Κιχὼν Ὀδυσῆ(α), ayant trouvé Ulysse.—Ancienne variante, κιὼν, Ὀδυσῇ. Avec cette leçon, il n'y a point de virgule après Ἰθάκηδε, et Ὀδυσῇ dépend de εἴποιμ(ι). La Roche : « Quod non aspernatus essem, præsertim quum libri fere omnes κιών exhibeant, si forma Ὀδυσῇ analogia dativorum ἥρῳ, ἔρῳ, Ἄρῃ posset defendi. » Suivant Didyme (*Scholies* H), Ὀδυσῇ est attique, c'est-à-dire que la finale ῃ, qu'on écrivait ΗΙ, est pour ει. Hermann propose de lire Ὀδυσεῖ, et rien n'empêche, si l'on veut, d'adopter cette orthographe. Le texte des Panathénées portait ΟΔΥΣΕ, qui est indifféremment Ὀδυσῆ, Ὀδυσῆ(α), Ὀδυσεῖ, Ὀδυσῆϊ et Ὀδυσῇ. — Il va sans dire que κιών est indispensable, au cas où l'on ne conserverait point l'accusatif Ὀδυσῆ(α).

158. Εἴποιμ(ι), sous-entendu αὐτῷ ou Ὀδυσσεῖ.

159. Ἄγω. Ancienne variante, ἐγώ (on sous-entendait δείξω).

160. Ὣς ἄρα.... Vers emprunté à l'*Iliade*, XIII, 821. On le reverra plus bas, vers 525.

161. Ἀργήν. Aristarque (*Scholies* H) : (ἡ διπλῆ,) ὅτι καὶ θηλυκὸν λέγεται. Dans l'*Iliade*, le mot χήν est masculin.

162. Ἥμερον, non sauvage : domestique. L'expression ἐξ αὐλῆς indique qu'il s'agit d'une volaille ; et ἀτιταλλομένην ἐνὶ οἴκῳ, vers 174, est le commentaire de ἥμερον. — Οἱ (eux, les gens de la maison) a pour apposition explicative ἀνέρες ἠδὲ γυναῖκες. — Ἰύζοντες. Ils tâchent d'effrayer l'aigle en criant, et de lui faire lâcher sa proie. *Scholies* B et Q : πρὸς τὴν πτῆσιν ἔτρεχον ποιὰν φωνὴν ἀφιέντες, ἵνα ῥίψῃ τὴν χῆνα.

163. Σφισιν, à eux-mêmes, c'est-à-dire aux deux voyageurs et à leur hôte.

164. Οἱ, eux : Télémaque, Pisistrate et Ménélas.

165. Γήθησαν,... Vers emprunté à l'*Iliade*, XXIV, 321. — Πᾶσιν, à tous : à tous les trois. — Ἰάνθη, s'épanouit : fut transporté de joie.

167. Φράζεο, montre : explique.

168. Ἤ, *utrum*, si ; ἠέ, *an*, ou bien. — Hérodien (*Scholies* H) considérait la phrase comme une interrogation directe, et il écrivait ἦε avec le circonflexe : τὸ δεύτερον περισπαστέον, ὡς ἐρωτηματικόν. Bekker, Fæsi, Ameis et La Roche ont adopté cette orthographe.

170. Οἱ, à lui : à Pisistrate. — Ὑποκρίναιτο, il pût répondre. Didyme (*Scholies* V) : ἀποκριθείη. Homère ne connaît

Τὸν δ' Ἑλένη τανύπεπλος ὑποφθαμένη φάτο μῦθον·
Κλῦτέ μευ· αὐτὰρ ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω.
Ὡς ὅδε χῆν' ἥρπαξ', ἀτιταλλομένην ἐνὶ οἴκῳ,
ἐλθὼν ἐξ ὄρεος, ὅθι οἱ γενεή τε τόκος τε· 175
ὣς Ὀδυσεὺς κακὰ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
οἴκαδε νοστήσει καὶ τίσεται· ἠὲ καὶ ἤδη
οἴκοι, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης· 180
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὣς εὐχετοῴμην.
Ἦ, καὶ ἐφ' ἵπποιϊν μάστιν βάλεν· οἱ δὲ μάλ' ὦκα
ἤϊξαν πεδίονδε διὰ πτόλιος μεμαῶτες.
Οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί· 185
ἐς Φηρὰς δ' ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
υἱέος Ὀρσιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
Ἔνθα δὲ νύκτ' ἄεσαν· ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,

pas la forme ἀποκρίνομαι dans le sens de répondre. Il ne l'a employée qu'une seule fois (*Iliade*, V, 12), et dans un sens tout matériel : détacher, séparer.

171. Τόν dépend de ὑποφθαμένη : ayant pris l'avance sur lui.

172-173. Μαντεύσομαι,... Voyez les vers I, 200-201. — Ancienne variante, μυθήσομαι.

174. Ὅδε, c'est-à-dire οὗτος ὁ αἰετός. L'aigle est encore visible, et Hélène montre l'oiseau en tendant la main. — Ἀτιταλλομένην. L'oie est adulte; mais on a continué de s'occuper d'elle depuis qu'elle n'est plus un poussin. *Scholies* B, H et Q : κυρίως μὲν ἐκ νηπίου· νῦν δὲ μετ' ἐπιμελείας τρεφομένην.

175. Τόκος τε. Hélène suppose que l'aigle porte la proie à son nid, pour en nourrir sa couvée.

177. Τίσεται, exercera ses vengeances : tuera les prétendants comme l'aigle a tué l'oie. — Ἤδη, sous-entendu ἐστίν.

178. Ἀτάρ, et même : bien plus.

180-181. Οὕτω.... Répétition des vers VIII, 465 et 467. Voyez les notes sur ces deux vers.

180. Οὕτω, ainsi, c'est-à-dire comme tu le prophétises.

182. Ἐ(πί) doit être joint à βάλεν : ἐπέβαλε μάστιν, il appliqua le fouet; il donna du fouet.

183. Ἤϊξαν.... Ameis voit dans ce vers un remarquable exemple d'harmonie expressive : « Man beachte die sinnliche « Malerei des Rosselaufes, die im Rhythmus, « in der dreifachen Allitteration und der « Assonanz des ι liegt. » — Διὰ πτόλιος. Ceci suppose que le palais du roi était au centre de la ville. — Μεμαῶτες, faisant effort : courant de toute leur force. Sous-entendez πεδίονδε : pour gagner la plaine.

184-192. Οἱ δὲ πανημέριοι.... Répétition des vers III, 486-494. Voyez les notes sur ce passage. — Bekker rejette au bas de la page le vers 192.

ἵππους τε ζεύγνυντ' ἀνά θ' ἅρματα ποικίλ' ἔβαινον· 190
ἐκ δ' ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο Πύλου αἰπὺ πτολίεθρον·
καὶ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν·
Νεστορίδη, πῶς κέν μοι ὑποσχόμενος τελέσειας 195
μῦθον ἐμόν; Ξεῖνοι δὲ διαμπερὲς εὐχόμεθ' εἶναι
ἐκ πατέρων φιλότητος, ἀτὰρ καὶ ὁμήλικές εἰμεν·
ἥδε δ' ὁδὸς καὶ μᾶλλον ὁμοφροσύνῃσιν ἐνήσει.
Μή με παρὲξ ἄγε νῆα, Διοτρεφές, ἀλλὰ λίπ' αὐτοῦ·
μή μ' ὁ γέρων ἀέκοντα κατάσχῃ ᾧ ἐνὶ οἴκῳ, 200
ἱέμενος φιλέειν· ἐμὲ δὲ χρεὼ θᾶσσον ἱκέσθαι.
Ὣς φάτο· Νεστορίδης δ' ἄρ' ἑῷ συμφράσσατο θυμῷ,
ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
στρέψ' ἵππους ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης· 205

194. Καὶ τότε.... Répétition textuelle du vers IV, 69.

195-196. Πῶς κέν μοι...; Par quel moyen pourrais-tu, après me l'avoir promis, accomplir ma demande? c'est-à-dire peux-tu, oui ou non, tâcher de faire ce que je vais te demander? Voyez plus bas le vers 203.

196. Δέ est explicatif, et il équivaut à γάρ. Télémaque donne les raisons pour lesquelles Pisistrate doit accueillir sa demande.

197. Ἀτάρ est conjonctif, comme au vers 178, et καί signifie de plus.

198. Ἧδε δ' ὁδός, et puis ce voyage : et puis le voyage que nous venons de faire de compagnie. — Καὶ μᾶλλον, davantage encore. — Ἐνήσει, sous-entendu ἡμέας.

199. Μή με παρὲξ ἄγε νῆα, ne me mène pas au delà du navire, c'est-à-dire mène-moi seulement au port, et non point à la ville. Didyme (*Scholies* B et V) : μή με παρὰ τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν ναῦν ἄλλην ἀγάγῃς. *Scholies* H et Q : (μή με παρὲξ ἄγε) εἰς τὴν πόλιν πρὸς τὸν Νέστορα. ἀλλ' ἐντεῦθεν αὐτὸς μὲν εἰ βούλοιο ἀπελθεῖν εἰς τὴν πόλιν, ἐμὲ δὲ λίπε ἐντεῦθεν ἐπὶ τὴν ναῦν βαδίσαι. — Αὐτοῦ, là-même, c'est-à-dire au port, près de mon navire.

201. Φιλέειν, de (me) bien traiter. *Scholies* H et Q : μέμνηται τοῦ· χρὴ ξεῖνον παρέοντα φιλεῖν (vers 74). — Ἱκέσθαι, d'être arrivé : d'être chez moi.

203. Ὅππως οἱ.... Ce vers correspond à l'interrogation πῶς κέν μοι ὑποσχόμενος..., vers 195-196.

204. Ὧδε, *sic*, comme il suit : de faire ce que je vais vous dire. Dans d'autres passages où on lit le même vers (ainsi *Iliade*, XIII, 458), ὧδε se rapporte à οἱ φρονέοντι. Mais c'est qu'alors la phrase ne se termine point avec le vers. Ici, comme au vers V, 474, il précise δοάσσατο κέρδιον εἶναι.

205. Στρέψ(ε), il détourna. Sous-entendez ἀπὸ τῆς πρὸς πόλιν ὁδοῦ : de la route qui menait à la ville. Pylos était située sur une colline, et assez loin de son port. Il en était de même, en Grèce, pour presque toutes les villes maritimes. — Nicanor (*Scholies* H) suppose qu'il est possible de se tromper sur la voyelle remplacée par une apostrophe, et il nous met en garde contre cette erreur : τὸ πλῆρες ἔστρεψεν, οὐ στρέψα· ἀπ' ἄλλης γὰρ ἀρχῆς ἐστί. Quand même il n'y aurait pas asyndète, στρέψα ne peut guère venir à

νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα,
ἐσθῆτα χρυσόν τε, τά οἱ Μενέλαος ἔδωκεν·
καί μιν ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Σπουδῇ νῦν ἀνάβαινε κέλευέ τε πάντας ἑταίρους,
πρὶν ἐμὲ οἴκαδ' ἱκέσθαι ἀπαγγεῖλαί τε γέροντι. 210
Εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
οἷος κείνου θυμὸς ὑπέρβιος, οὔ σε μεθήσει,
ἀλλ' αὐτὸς καλέων δεῦρ' εἴσεται· οὐδέ ἕ φημι
ἄψ ἴέναι κενεόν· μάλα γὰρ κεχολώσεται ἔμπης.

l'idée : c'est même surtout alors qu'il serait absurde. Mais il est évident pour moi que Nicanor a écrit στρέψαι, et que στρέψα est une faute de copiste. Ceux qui lisaient στρέψαι s'autorisaient sans doute des passages que j'ai rappelés dans la note précédente. Ainsi, *Iliade*, XIII, 459, il y a βῆναι, et non βῆ, la phrase n'étant point terminée après κέρδιον εἶναι.

206. Νηῒ δ' ἐνὶ πρύμνῃ ἐξαίνυτο κάλλιμα δῶρα, phrase elliptique : et il tira (du coffre) les beaux présents (afin qu'ils fussent) sur l'arrière du navire. — Il faut sous-entendre de plus que la poupe du navire touche au rivage ; que le char est arrêté près de la poupe ; que Télémaque est monté sur le tillac, et que Pisistrate lui tend les objets du haut du char. Il est inadmissible que νηῒ δ' ἐνὶ πρύμνῃ soit pour νῆα δ' εἰς πρύμνην, et la traduction *navis in puppim depromebat* est tout à fait arbitraire. Si le poëte eût voulu dire cela, on lirait, dans le vers, νῆα δ' ἐπὶ πρύμνην. — Bothe, qui n'explique point le passage, a l'air de prendre pour une explication exacte la scholie que voici : στὰς ἐπὶ τῆς πρύμνης ἐδέχετο (τὰ) δῶρα. τὸ δὲ ἐξαίνυτο σημαίνει τὸ ἐξῃρεῖτο. ἔνθεν ἡ τοὺς ἰχθύας αἰνυμένη τοῖς γόμφοις τρίαινα. Mais la première phrase ne peut se rapporter qu'à Télémaque, et elle exprime seulement un des faits sous-entendus. Si elle était une explication des mots du texte, cette explication serait fausse, et, qui pis est, en formelle contradiction avec tout le reste de la scholie. Cette note, que donnent à la fois B, H et Q, est évidemment une citation d'Aristarque, ou, si l'on veut, d'Aristonicus, mais mutilée à la tête. Tout devient parfait, si on la restitue comme il suit : (ἡ διπλῆ πρὸς τὸ σιωπώμενον, ὅτι Τηλέμαχος) στὰς ἐπὶ τῆς πρύμνης ἐδέχετο (τὰ) δῶρα· τὸ δὲ ἐξαίνυτο.... L'exemple qui termine la note est un vers hexamètre auquel il ne manque que le premier pied, mais à condition de supprimer les trois articles ἡ, τούς et τοῖς, et d'écrire γόμφοισι. J'ignore, comme Bothe et comme tout le monde, d'où est tiré ce vers.

207. Οἱ, à lui : à Télémaque. On a vu, VIII, 440, un vers semblable à celui-ci.

209. Σπουδῇ, en toute hâte.

211. Εὖ γάρ.... Vers emprunté à l'*Iliade*, où il est plusieurs fois répété, et où nous l'avons commenté, IV, 163.

212. Οἷος κείνου θυμὸς ὑπέρβιος, sous-entendu ἐστί : *qualis est illius animus vehemens*, vu le caractère impérieux dont je le connais. Cette expression tout entière est empruntée à l'*Iliade*, XVIII, 262. — L'épithète ὑπέρβιος, dans la bouche de Pisistrate, ne peut avoir qu'un sens adouci. Le vieillard est bon ; mais il est entêté, et il tient ferme à ses idées.

213. Καλέων au futur, sous-entendu σέ : pour t'inviter. — Εἴσεται, de εἶμι : il viendra.

214. Κενεόν, *vacuum*, c'est-à-dire *sine te* : sans toi. — Κεχολώσεται. Pisistrate suppose le cas où Télémaque refuserait de monter à Pylos. — Ἔμπης (*omnino*) signifie que le vieillard n'y manquera pas. — Quelques anciens prenaient cet adverbe comme synonyme de μάλα, et ne lui donnaient ici aucune valeur. *Scholies* H : περισσὸν κεῖται τὸ ἔμπης. Même comme synonyme de μάλα, il ne serait point redondant : il élèverait au superlatif l'idée exprimée par cet adverbe.

Ὣς ἄρα φωνήσας ἔλασεν καλλίτριχας ἵππους 215
ἂψ Πυλίων εἰς ἄστυ, θοῶς δ' ἄρα δώμαθ' ἵκανεν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν·
Ἐγκοσμεῖτε τὰ τεύχε', ἑταῖροι, νηῒ μελαίνῃ·
αὐτοί τ' ἀμβαίνωμεν, ἵνα πρήσσωμεν ὁδοῖο.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο. 220
Αἶψα δ' ἄρ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
Ἤτοι ὁ μὲν τὰ πονεῖτο καὶ εὔχετο, θῦε δ' Ἀθήνῃ
νηῒ πάρα πρύμνῃ· σχεδόθεν δέ οἱ ἤλυθεν ἀνὴρ
τηλεδαπός, φεύγων ἐξ Ἄργεος ἄνδρα κατακτάς,
μάντις· ἀτὰρ γενεήν γε Μελάμποδος ἔκγονος ἦεν, 225
ὃς πρὶν μέν ποτ' ἔναιε Πύλῳ ἔνι, μητέρι μήλων,
ἀφνειὸς Πυλίοισι μέγ' ἔξοχα δώματα ναίων·

215. Ὣς ἄρα φωνήσας.... Répétition du vers V, 380. D'après ceci, il n'y a pas de doute que Pisistrate, pendant le transbordement des objets qui étaient dans le coffre, ne soit resté sur le char. — Ἔλασεν. Ancienne variante, ἵμασεν.

216. Ἂψ. Pisistrate rebrousse chemin pour reprendre la route à l'endroit où il l'a quittée, vers 205.

217. Τηλέμαχος.... Voyez le vers II, 422 et les notes sur ce vers.

218. Τὰ τεύχε(α), ces agrès. Il les montre.

219. Ὁδοῖο. Voyez la note du vers II, 404.

220. Ὣς.... Répétition du vers III, 477.

221. Αἶψα.... On a vu des vers analogues à celui-là, II, 419 et IX, 103.

222. Τά, ces choses : tout ce qu'il y avait à faire. — Θῦε, il offrait des prémices. Voyez le vers XIV, 446 et les notes sur ce vers.

223. Ἤλυθεν. Ancienne variante, ἤλασεν. Avec cette leçon, le personnage arriverait monté sur un char. Rien n'est moins vraisemblable. J'ajoute qu'on a vu, II, 267 et ailleurs, σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη.

224. Τηλεδαπός, d'un pays lointain : né loin de Pylos. — Φεύγων, exilé, ou plutôt réfugié. Il avait quitté son pays par crainte, et non en vertu d'une sentence de bannissement. Il voulait échapper à la ποινή. *Scholies* H : νῦν τὸ φεύγων ἀντὶ τοῦ ἑκουσίως καταλιπὼν ὑπὲρ τοῦ ἀδελφοῦ Βίαντος. — Ἄργεος désigne le Péloponnèse, l'Argos Achaïque, et non la ville d'Argos. *Scholies* B : Ἄργεος δὲ οὐ τῆς πόλεως, ἀλλὰ τῆς χώρας. — Κατακτάς, ayant tué : parce qu'il avait tué. Il est souvent question, chez Homère, d'expatriations par suite d'homicide. Patrocle, par exemple, était un réfugié du même genre que celui dont il est ici question. On verra plus bas des détails, vers 272-276.

225. Ἀτὰρ.... Tout ce qui suit, jusqu'au vers 256, est une sorte de parenthèse. Le poëte tient à ce qu'on n'ignore rien de tout ce qui concerne le personnage, qu'il nommera seulement alors par son nom. — Μελάμποδος ἔκγονος ἦεν. Ceci explique la qualification de μάντις. L'art de la divination se transmettait, comme les autres arts, de père en fils. — Voyez l'histoire de Mélampus, XI, 291-296.

226. Ὅς (lequel) se rapporte à Mélampus, et non à l'exilé *Scholies* V : ὁ Μελάμπους. — Πρίν, d'abord.

227. Πυλίοισι, comme ἐν Πυλίοισι. — Μέγ(α), adverbe : très. Ancienne variante, μέτ(α). *Scholies* H : ἡ γραφὴ μετά (μέτα à cause de la position), ἀντὶ τοῦ ἐν Πυλίοις· μετὰ Πυλίων ναίων ἔξοχα δώματα. Πύλιος γὰρ ἦν. Il est probable que μέτ(α) n'est qu'une correction, d'ailleurs parfaitement inutile ; car le datif, chez Homère, a souvent le sens du locatif. — Ναίων,

δὴ τότε γ' ἄλλων δῆμον ἀφίκετο, πατρίδα φεύγων
Νηλέα τε μεγάθυμον, ἀγαυότατον ζωόντων,
ὅς οἱ χρήματα πολλὰ τελεσφόρον εἰς ἐνιαυτὸν 230
εἶχε βίῃ. Ὁ δὲ τέως μὲν ἐνὶ μεγάροις Φυλάκοιο
δεσμῷ ἐν ἀργαλέῳ δέδετο, κρατέρ' ἄλγεα πάσχων
εἵνεκα Νηλῆος κούρης ἄτης τε βαρείης,
τήν οἱ ἐπὶ φρεσὶ θῆκε θεὰ δασπλῆτις Ἐρινύς.
Ἀλλ' ὁ μὲν ἔκφυγε Κῆρα, καὶ ἤλασε βοῦς ἐριμύκους 235
ἐς Πύλον ἐκ Φυλάκης, καὶ ἐτίσατο ἔργον ἀεικὲς
ἀντίθεον Νηλῆα, κασιγνήτῳ δὲ γυναῖκα
ἠγάγετο πρὸς δώμαθ'. Ὁ δ' ἄλλων ἵκετο δῆμον,
Ἄργος ἐς ἱππόβοτον· τόθι γάρ νύ οἱ αἴσιμον ἦεν
ναιέμεναι πολλοῖσιν ἀνάσσοντ' Ἀργείοισιν. 240

si près de ἔναιε, a choqué Bothe. Mais Homère est plein de ces négligences, ou plutôt de ces naïvetés. D'ailleurs la correction proposée par le critique, ὃς πρὶν μὲν ἐνίαυε au lieu de ὃς πρὶν μέν ποτ' ἔναιε, est pour le moins un peu bizarre.

228. Τότε, opposé à πρίν, équivaut à ἔπειτα : ensuite. — Ἄλλων. Ancienne variante, ἄλλον. Cette leçon est mauvaise. Voyez plus bas, vers 238. Eustathe : ἐν δὲ τῷ ἄλλων δῆμον ἀφίκετο, διφορεῖται μὲν κατὰ τὴν γραφὴν τὸ ἄλλων, κρεῖττον δὲ ἐκτείνειν αὐτὸ, ἐπεὶ μετ' ὀλίγα εἰς τόπον σπονδείου κεῖται τὸ, ὁ δ' ἄλλων ἵκετο δῆμον.

229. Νηλέα τε, suivant quelques anciens, équivaut à διὰ Νηλέα, et la copule est inutile. *Scholies* H : λείπει ἡ διά, διὰ Νηλέα, καὶ ὁ τε παρέλκει. C'est là une supposition toute gratuite, et l'explication littérale ne laisse rien à désirer.

230. Οἱ, d'après les modernes, se rapporte à εἶχε, mais les anciens lui donnaient la valeur d'un génitif. *Scholies* B et Q : οἱ ἀντὶ τοῦ αὐτοῦ, ὡς ἐκείνου ὑποσχομένου φέρειν τας βοῦς ἀντὶ ἕδνων. τῆς κόρης γὰρ τὴν οὐσίαν ἀπέσπασεν.

231. Ὁ, lui : Mélampus. — Τέως. *Scholies* P et V : ἕως τοῦ τελειωθῆναι τὸν ἐνιαυτόν. — Φυλάκοιο. C'était le père d'Iphiclus. Voyez l'*Iliade*, II, 705. Voyez aussi l'*Odyssée*, XI, 290. — Au lieu de Φυλάκοιο, quelques textes antiques donnaient Ἰφίκλοιο. Mais la première syllabe de ce mot est longue, et elle fausserait le vers.

233. Εἵνεκα Νηλῆος κούρης. Cette fille se nommait Péro. Voyez le vers XI, 287.

234. Δασπλῆτις. Ancienne variante, δυσπλῆτις. Les deux mots paraissent synonymes. *Scholies* V : δυσπροσπέλαστος· καὶ μεγάλως ἐμπελάζουσα, δυσχερὴς ᾧ ἂν προσπελασθῇ. *Scholies* B, H et Q : δυσπλῆτίς τις οὖσα, ὅ ἐστι δυσπέλαστος, ἀντὶ τοῦ καταπληκτική. ἡ Ἐρινὺς, φησὶν, ἔθηκεν εἰς νοῦν τῷ Μελάμποδι τὸ τὰς βοῦς Ἰφίκλου ὑποσχέσθαι τῷ Νηλεῖ.

236. Ἐτίσατο est construit avec deux accusatifs. On a vu un exemple analogue, *Iliade*, XVII, 34. *Scholies* B et Q : ἀντὶ τοῦ ἐξέτισε τῷ Νηλεῖ ἐπιταχθὲν ἔργον, ὃ ἦν ἀεικὲς, ὅ ἐστι σκληρὸν καὶ μὴ εἶκον, ἀλλὰ δυσκατόρθωτον. ἢ τὰ ἴδια χρήματα ἀναλαβὼν τὸν κατέχοντα ἐτιμωρήσατο. — Ἔργον ἀεικές. Nélée avait manqué à sa promesse formelle. *Scholies* B et Q : μετὰ τὸ ἐνεχθῆναι τὰς βοῦς, Νηλεὺς οὐ παρεῖχε τὴν κόρην ἕως ὅπου μάχῃ νενίκηται ὑπὸ τῶν Ἀμυθαονιδῶν.

237. Κασίγνητον. Il s'agit de Bias. Mélampus et lui étaient fils d'Amythaon.

238. Ὁ δέ, quant à lui : quant à Mélampus.

239. Τόθι. Ancienne variante, ὅθι.

240. Ἀνάσσοντ(α) ou ἀνάσσοντ(ι), suivant qu'on rapporte ce participe à ναιεμέναι ou à οἱ.

Ἔνθα δ' ἔγημε γυναῖκα, καὶ ὑψερεφὲς θέτο δῶμα·
γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.
Ἀντιφάτης μὲν ἔτικτεν Ὀϊκλῆα μεγάθυμον·
αὐτὰρ Ὀϊκλείης λαοσσόον Ἀμφιάραον,
ὃν πέρι κῆρι φίλει Ζεύς τ' αἰγίοχος καὶ Ἀπόλλων 245
παντοίην φιλότητ'· οὐδ' ἵκετο γήραος οὐδόν,
ἀλλ' ὄλετ' ἐν Θήβῃσι γυναίων εἵνεκα δώρων.
Τοῦ δ' υἱεῖς ἐγένοντ' Ἀλκμαίων Ἀμφίλοχός τε.
Μάντιος αὖ τέκετο Πολυφείδεά τε Κλεῖτόν τε·
ἀλλ' ἤτοι Κλεῖτον χρυσόθρονος ἥρπασεν Ἠὼς 250
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Αὐτὰρ ὑπέρθυμον Πολυφείδεα μάντιν Ἀπόλλων
θῆκε βροτῶν ὄχ' ἄριστον, ἐπεὶ θάνεν Ἀμφιάραος·

241. Ἔνθα, là : dans le pays des Argiens, c'est-à-dire dans le Péloponnèse. Voyez plus haut, vers 224, la note sur Ἄργεος.

244. Ἀμφιάραον. Zénodote, Ἀμφιάρηον. Didyme (*Scholies* H) : Ἀρίσταρχος διὰ τοῦ α, Ζηνόδοτος διὰ τοῦ η.

245. Ὃν πέρι.... On a vu un vers analogue, *Iliade*, XIII, 430. — Πέρι est adverbe. Si l'on écrit περί, préposition, il vaut mieux le joindre au verbe φίλει (περιεφίλει) que de lui donner κῆρι pour régime, ce qui affaiblit le sens. — Ἀπόλλων. Ancienne variante, Ἀθήνη.

246. Οὐδ(έ), dans le sens étymologique : *non autem*, *sed non*. Didyme (*Scholies* H et Q) : ὁ δέ παρὰ σύνταξιν κεῖται. λέγει γὰρ ὅτι καίπερ θεοφιλὴς ὢν οὐκ ἐγήρασε. τὸ οὖν ἑξῆς, γήραος δὲ οὐδὸν οὐχ ἵκετο. ὅμοιον δέ ἐστι τῷ, οὐδ' Ἀγαμέμνων λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ (*Iliade*, I, 318-319). τὸ γὰρ ἑξῆς, Ἀγαμέμνων δ' οὐ λῆγ' ἔριδος. — Cependant quelques anciens laissaient a οὐδ(έ) son sens ordinaire, parce que mourir jeune, c'était, selon eux, un bonheur. Et ils citaient les vers fameux de Ménandre. *Scholies* H : εἰς σύμβολον τῆς θεοφιλίας τὸ μὴ καταγηράσαι· ἄμφω δῶρα, τὸ μὲν θεοφιλίας, τὸ δὲ μικροχρονίου ζωῆς. *Scholies* V : θεὸς γὰρ πεπρωμένης οὐκ ἀπολύει, ζῶντι δὲ ἀγαθῶν αἴτιος γίνεται. ἢ τὸ Μενάνδρειον, ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος. — Didyme avait fait la même citation ; mais c'était pour montrer la flagrante opposition des idées entre les deux poëtes : τούτῳ ὁ Μένανδρος οὐ προσεσχηκὼς εἶπεν· ὃν οἱ θεοί.... En effet, le dégoût de la vie n'est point un sentiment homérique, et n'appartient qu'aux sociétés vieillies et raffinées. Ce n'est point par Ménandre qu'il faut expliquer Homère. — Γήραος οὐδόν. Voyez dans l'*Iliade*, XXII, 60, la note sur ἐπὶ γήραος οὐδῷ.

247. Γυναίων εἵνεκα δώρων. On a vu, XI, 520, la même expression appliquée à une autre légende. Ici il s'agit de la trahison d'Ériphyle. Didyme (*Scholies* V) : τὸν ὅρμον ἐπὶ τῷ Ἀμφιαράῳ ἀκουστέον. Voyez les vers XI, 326-327. — D'après Aristarque, Homère ignore la vengeance d'Amphiaraüs par son fils Alcméon, sujet pourtant si fameux chez les poëtes postérieurs : (ἡ διπλῆ, ὅτι) οὐκ οἶδεν Ὅμηρος τὸν Ἀλκμάονα μητροκτόνον.

249. Μάντιος. Mantius était le fils de Mélampus et le frère d'Antiphate. Voyez plus haut, vers 242. — Αὖ, à son tour.

251. Κάλλεος εἵνεκα.... Ce vers est emprunté à l'*Iliade*, XX, 235. Mais Aristonicus, dans les *Scholies de Venise*, blâme cet emprunt.

253. Βροτῶν dépend de ὄχ' ἄριστον, qui se rapporte à μάντιν : le plus habile devin qu'il y eût dans le monde.

ὅς ῥ' Ὑπερησίηνδ' ἀπενάσσατο, πατρὶ χολωθείς,
ἔνθ' ὅγε ναιετάων μαντεύετο πᾶσι βροτοῖσιν. 255
Τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, Θεοκλύμενος δ' ὄνομ' ἦεν,
ὃς τότε Τηλεμάχου πέλας ἵστατο· τὸν δ' ἐκίχανεν
σπένδοντ' εὐχόμενόν τε θοῇ παρὰ νηῒ μελαίνῃ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεί σε θύοντα κιχάνω τῷδ' ἐνὶ χώρῳ, 260
λίσσομ' ὑπὲρ θυέων καὶ δαίμονος, αὐτὰρ ἔπειτα
σῆς τ' αὐτοῦ κεφαλῆς καὶ ἑταίρων, οἵ τοι ἕπονται,
εἰπέ μοι εἰρομένῳ νημερτέα, μηδ' ἐπικεύσῃς·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 265
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Ἐξ Ἰθάκης γένος εἰμὶ, πατὴρ δέ μοί ἐστιν Ὀδυσσεὺς,
εἴ ποτ' ἔην· νῦν δ' ἤδη ἀπέφθιτο λυγρὸν ὄλεθρον.
Τοὔνεκα νῦν ἑτάρους τε λαβὼν καὶ νῆα μέλαιναν
ἦλθον πευσόμενος πατρὸς δὴν οἰχομένοιο. 270

254. Ὅς est démonstratif : celui-ci, c.-à-d. Polyphide.— Ὑπερησίηνδ(ε), à Hypérésie. C'était une ville de l'Achaïe. Voyez l'*Iliade*, II, 573. C'est de cette ville que venait l'exilé. *Scholies* B et Q : πόλις Ἄργους ἡ Ὑπερησία. εἶπε γὰρ ὅτι ἐξ Ἄργους ἦλθεν (vers 224) ὁ Θεοκλύμενος. — Πατρί. Mantius.

255. Ἔνθα, là où : et dans cette ville.

256. Τοῦ.... υἱός, le fils de celui-là : le fils de Polyphide.

258. Σπένδοντ' εὐχόμενόν τε.... Voyez plus haut, vers 222-223.

261. Ὑπέρ, au nom de : par. — Δαίμονος. Théoclymène ne sait pas que la divinité est Minerve; mais il voit bien que Télémaque offre des prémices à une divinité. De là le terme général dont il se sert. Didyme (*Scholies* B, Q et V) : ὑπὲρ ταύτης τῆς θυσίας καὶ τοῦ δαίμονος ᾧ θύεις· ἀντὶ τοῦ κατὰ τῆς θυσίας καὶ δαίμονος. — Αὐτὰρ ἔπειτα. Ancienne variante, ἠδὲ τοκήων.

262. Καὶ ἑταίρων, sous-entendu κεφαλῆς, attique τῆς κεφαλῆς.

263. Εἰπέ μοι εἰρομένῳ, *dic mihi interroganti*, réponds à ma question. — Νημερτέα dépend de εἰπέ.

264. Τίς πόθεν.... Voyez le vers I, 170 et les notes sur ce vers.

266. Τοιγὰρ.... Répétition du vers XIV, 192, sauf ξεῖνε à la place de ταῦτα. — Ἀγορεύσω. Ancienne variante, καταλέξω. C'est plutôt une glose.

267. Γένος, de race : par ma famille.

268. Εἴ ποτ' ἔην, si jamais (cela) fut : si ce n'est point là un songe. Télémaque, qui était encore à la mamelle lors du départ d'Ulysse, n'a point connu son père. Hélène, dans l'*Iliade*, III, 180, se sert de la même expression à propos d'Agamemnon son beau-frère, dont la vue lui rappelle des temps évanouïs. — Λυγρὸν ὄλεθρον, *vulgo* λυγρῷ ὀλέθρῳ. Didyme (*Scholies* H) : αἱ χαριέστεραι λυγρὸν ὄλεθρον. Notre vulgate n'est qu'une correction ancienne, ou plutôt une glose passée dans le texte. Je rétablis, avec Ameis et La Roche, la leçon notée par Didyme.

269. Τοὔνεκα, voilà pourquoi, c'est-à-dire afin de savoir à quoi m'en tenir sur ce sujet : pour m'assurer si Ulysse est mort oui ou non.

270. Ἦλθον.... C'est le conseil que lui a donné Minerve, I, 181.

Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής·
Οὕτω τοι καὶ ἐγὼν ἐκ πατρίδος, ἄνδρα κατακτὰς
ἔμφυλον· πολλοὶ δὲ κασίγνητοί τε ἔται τε
Ἄργος ἀν' ἱππόβοτον, μέγα δὲ κρατέουσιν Ἀχαιῶν.
Τῶν ὑπαλευάμενος θάνατον καὶ Κῆρα μέλαιναν 275
φεύγω, ἐπεί νύ μοι αἶσα κατ' ἀνθρώπους ἀλάλησθαι.
Ἀλλά με νηὸς ἔφεσσαι, ἐπεί σε φυγὼν ἱκέτευσα,
μή με κατακτείνωσι· διωκέμεναι γὰρ ὀΐω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Οὐ μὲν δή σ' ἐθέλοντά γ' ἀπώσω νηὸς ἐΐσης, 280
ἀλλ' ἕπευ· αὐτὰρ κεῖθι φιλήσεαι, οἷά κ' ἔχωμεν.
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος,
καὶ τόγ' ἐπ' ἰκριόφιν τάνυσεν νεὸς ἀμφιελίσσης·
ἂν δὲ καὶ αὐτὸς νηὸς ἐβήσετο ποντοπόροιο.
Ἐν πρύμνῃ δ' ἄρ' ἔπειτα καθέζετο, πὰρ δὲ οἷ αὐτῷ 285

272. Ἄνδρα κατακτάς, comme au vers 224 : pour avoir tué un homme.

273. Δέ est explicatif, et il équivaut à γάρ. — Ἔται τε, sous-entendu εἰσὶν αὐτῷ (il a).

275. Τῶν, d'eux : de leur part.

276. Ἐπεί νύ μοι.... C'est par son art que le devin Théoclymène connaît sa destinée ; car il n'y a que peu de temps qu'il a quitté Hypérésie. Didyme (*Scholies* H) : οὐκ ἐκ τῶν ἀποβάν των, ἀλλὰ καὶ ὡς μάντις οἶδεν.

277. Ἔφεσσαι, installe. Voyez, XIII, 274, la note sur ce verbe.

278. Διωκέμεναι, *persequi*, qu'ils sont en chasse : qu'ils courent après moi.

280. Σ' ἐθέλοντά γ(ε), toi du moins voulant, sous-entendu μὴ ἀπώσεσθαι. — Bothe propose de changer ἐθέλοντα en ἐθελοντί, adverbe : *mea sponte*, sans y être forcé. Cette correction a deux défauts graves : aucune raison ne la motive, et l'adverbe ἐθελοντί n'appartient pas à la langue d'Homère.

281. Κεῖθι, là : sur le navire. — Οἷά κ' ἔχωμεν, suivant les choses que nous aurons : d'une façon proportionnée à nos ressources, c'est-à-dire aussi bien qu'il nous sera possible.

282. Οἱ, le datif dans le sens du génitif, comme s'il y avait ἔγχος αὐτοῦ. On a plutôt l'habitude de rapporter le mot οἱ au verbe. Il est alors l'équivalent de ἀπ' αὐτοῦ. Voyez dans l'*Iliade*, II, 186, la note sur δέξατο οἱ. — Nous comprenons, du reste, comment la chose se passe. *Scholies* Q : κάτω ὢν ἐκτείνας τὴν χεῖρα ἔδωκεν εἰς τὸ πλοῖον τὸ δόρυ, μετὰ δὲ τὸ δοῦναι δόρυ εἶτα ἀνέβη. Les mêmes *Scholies* ajoutent : λείπει ἡ παρά, ἵν' ᾖ παρ' αὐτοῦ. C'est là une nouvelle preuve que les anciens regardaient οἱ, dans ces phrases, comme tenant purement et simplement lieu d'un génitif.

283. Ἐπ' ἰκριόφιν, sur le tillac : à l'arrière du navire. Voyez le vers III, 353.

284. Ἂν doit être joint à ἐβήσετο. — Αὐτός, lui-même : Télémaque. On se rappelle que Télémaque faisait ses offrandes près de la poupe du navire, et par conséquent sur le rivage : νηὶ παρὰ πρύμνῃ, vers 223. Pour déposer sur le tillac la lance de Théoclymène, il n'avait eu qu'à allonger le bras.

285. Οἱ n'est plus enclitique comme au vers 282. Hérodien (*Scholies* H) : ἀεὶ ἡ οἱ προτασσομένη τῆς ἐπιταγματικῆς ὀρθοτονεῖται, σεσημειωμένου τοῦ, ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέσειε βίην (IV, 667-668).

εἷσε Θεοκλύμενον· τοὶ δὲ πρυμνήσι' ἔλυσαν.
Τηλέμαχος δ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
ὅπλων ἅπτεσθαι· τοὶ δ' ἐσσυμένως ἐπίθοντο.
Ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν· 290
ἕλκον δ' ἱστία λευκὰ ἐϋστρέπτοισι βοεῦσιν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
λάβρον ἐπαιγίζοντα δι' αἰθέρος, ὄφρα τάχιστα
νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ.
[Βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καλλιρέεθρον.] 295
Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί·
ἡ δὲ Φεὰς ἐπέβαλλεν, ἐπειγομένη Διὸς οὔρῳ,

287-291. Τηλέμαχος.... Répétition des vers II, 422-426, sauf ἐσσυμένως ἐπίθοντο à la place de ὀτρύνοντος ἄκουσαν. Voyez les notes sur ce passage.

292. Τοῖσιν.... Répétition textuelle du vers II, 420.

293. Λάβρον, l'adjectif pour l'adverbe : avec force. On a vu, *Iliade*, II, 148, λάβρος ἐπαιγίζων. — Eustathe semble dire que λάβρος s'écrivait aussi λαῦρος. Cette orthographe ne provenait que d'une confusion de son, ou plutôt d'une fausse étymologie : οὐ σφαλερὸν μὲν, εἰ καὶ τῇ αυ διφθόγγῳ παραλήγεται παρὰ τὴν αὔραν. ἀρέσκει δὲ τοῖς ἀκριβεστέροις διὰ τοῦ βῆτα γράφεσθαι. Le mot λάβρος se rattache à la racine λαβ, et n'a rien de commun pour la forme avec αὔρα. — Ἐπαιγίζοντα, soulevant les vagues. Aristophane de Byzance écrivait ἐπαΐσσοντα (s'élançant). Quelques-uns regardent cette variante comme une explication, et attribuent à Aristophane la leçon même d'Aristarque. C'est une erreur. Il suffit, pour voir que ἐπαΐσσοντα est bien une leçon, de faire attention à la place de ce mot dans la note de Didyme. Tout ce qui suit ce mot est emprunté à Aristarque, justifie ἐπαιγίζοντα, et contredit ἐπαΐσσοντα, qui n'a ni la même plénitude de sens ni la même énergie (*Scholies* Q) : Ἀριστοφάνης ἐπαΐσσοντα. αἰγίδας ἔλεγον τὰς ὑφ' ἡμῶν καταιγίδας καὶ σφοδρὰς πνοὰς τῶν θυέλλων.

294. Ἀνύσειε.... ὕδωρ, achevât l'eau : fît la traversée complète.

295. Βὰν δὲ.... Ce vers est cité par Strabon, VIII, p. 350 et X, p. 447, et, dans ce dernier passage, avec l'épithète πετρήεσσαν au lieu de καλλιρέεθρον. Il n'est pas dans les manuscrits de l'*Odyssée;* il n'est pas commenté dans les *Scholies* ni dans le livre d'Eustathe. Barnes est le premier éditeur qui l'ait inséré dans son texte. On le met avec raison entre crochets ; car il n'est autre chose qu'une transcription plus ou moins altérée de ce qu'on lit dans l'*Hymne à Apollon*, vers 425 (ou II, 247) : βῆ δὲ παρὰ Κρουνοὺς καὶ Χάλκιδα καὶ παρὰ Δύμην. Ce qui a fait croire à Barnes qu'il appartenait à l'*Odyssée*, c'est qu'il est suivi, dans l'*Hymne*, du vers XV, 298 de l'*Odyssée* textuellement reproduit, puis, après celui-là, du vers 297, très-peu modifié : ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί· Εὖτε Φερὰς ἐπέβαλλεν, ἀγαλλομένη Διὸς οὔρῳ. Mais ces emprunts ne prouvent rien du tout pour ce qui concerne le vers 295. — Κρουνούς, les sources. Ces sources étaient situées dans l'Élide méridionale, sur la côte, à peu de distance de la Chalcis d'Élide, qui était tout à la fois un canton, une rivière et une petite ville. — Χάλκιδα, avec l'épithète καλλιρέεθρον, désigne la rivière Chalcis. Avec l'épithète πετρήεσσαν, il désigne la contrée arrosée par cette rivière. Sans épithète, comme il est dans l'*Hymne à Apollon*, rien n'empêche de le prendre pour la bourgade.

296. Δύσετο.... Répétition textuelle du vers II, 388.

297. Φεάς. Ancienne variante, Φέρας.

ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
Ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν,
ὁρμαίνων ἤ κεν θάνατον φύγοι ἦ κεν ἁλοίη. 300
Τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
δορπείτην· παρὰ δέ σφιν ἐδόρπεον ἀνέρες ἄλλοι.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς δ' Ὀδυσεὺς μετέειπε, συβώτεω πειρητίζων,
ἤ μιν ἔτ' ἐνδυκέως φιλέοι μεῖναί τε κελεύοι 305

Cette leçon était fautive; car il s'agit de Phée ou Phées sur l'Iardanus. Didyme (*Scholies* H) : γράφε καὶ Φεάς. περὶ ἧς φησι· Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα (*Iliade*, VII, 135). Aristarque, dans son commentaire sur ce vers de l'*Iliade*, avait constaté l'identité des deux noms : ἡ διπλῆ, ὅτι ἐν Ὀδυσσείᾳ πληθυντικῶς· ἡ δὲ Φεάς..., ὡς Μυκήνην καὶ Μυκήνας. — Phée était un port de l'Élide méridionale.

298. Ἠδὲ.... Voyez le vers XIII, 275 et les notes sur ce vers.

299. Νήσοισιν. Il s'agit des îles entre lesquelles s'était postée l'embuscade. — Ἐπιπροέηκε (il cingla au delà de) a pour sujet Τηλέμαχος sous-entendu. C'est le régime νῆα sous-entendu qui précise le sens du verbe. — Θοῇσιν, rapides : qui passèrent rapidement. L'épithète peint l'apparence. C'est le navire qui fuit, et ce sont les îles qui semblent fuir. Didyme (*Scholies* H et V) : μεταληπτικὸν ἐκ τοῦ κατὰ κίνησιν ὀξέος ἐπὶ τὸ κατὰ σχῆμα. Virgile, *Énéide*, III, 72 : « terræque « urbesque recedunt. » Tacite, *Annales*, III, 1 : « oppidum Brundisium, quod na« viganti *celerrimum* fidissimumque ad« pulsu erat. » — Suivant Strabon, VIII, p. 166, il faut lire Θοῇσιν, nom propre; et les îles Θοαί d'Homère ne sont autre chose que les Pointues, qui faisaient partie des Échinades : Θοὰς εἴρηκε τὰς Ὀξείας· τῶν Ἐχινάδων δ' εἰσὶν αὗται, πλησιάζουσαι τῇ ἀρχῇ τοῦ Κορινθιακοῦ κόλπου καὶ ταῖς ἐκβολαῖς τοῦ Ἀχελώου. Cette explication est aussi mentionnée dans les *Scholies* B, Q et V. Plusieurs traducteurs latins l'ont adoptée; car ils mettent, en regard du mot d'Homère, *Acutis* avec majuscule. Il est vrai qu'on a oublié, dans l'Homère-Didot, de faire concorder l'orthographe du grec avec celle du latin. — Je ne crois pas qu'il soit besoin de démontrer que θοός n'est pas et ne peut pas être synonyme de ὀξύς. L'explication de Strabon est une chimère de géographe, et rien autre chose. La suite prouve bien qu'il s'agit des îles entre lesquelles Télémaque aurait passé sans l'avertissement de Minerve, et non pas de telles ou telles des Échinades. Voyez plus haut, vers 28-30. Voyez aussi les vers IV, 844-847.

300. Ὁρμαίνων est dans un sens moral : préoccupé de l'idée qui devait alors l'agiter. — Quelques-uns entendent matériellement le mot : poussant (le navire). Mais alors ce mot n'ajoute que fort peu à ἐπιπροέηκε, et l'alternative ἢ.... ἤ, *utrum.... an*, n'est plus annoncée. Il vaut bien mieux qu'elle le soit.

301. Τώ (eux deux) est précisé par les deux substantifs. — Δ(έ), cependant, c'est-à-dire pendant que Télémaque s'approchait de sa patrie. Nous sommes au soir du lendemain de l'arrivée d'Ulysse chez Eumée. — Αὖτ(ε) doit être pris dans sa signification propre : de leur côté.

302. Δορπείτην. Ceux qui terminent le chant XIV au vers 431 ou au vers 433, identifient ce souper-ci avec celui de la veille, et par conséquent retranchent un jour tout entier à l'action du poëme. Voyez, XIV, 533, la note sur le système de Payne Knight et de Dugas Montbel. — Ἀνέρες ἄλλοι, les autres hommes. Il s'agit des quatre porchers d'Eumée. Voyez le vers XIV, 410.

303. Αὐτὰρ.... Voyez le vers I, 150 et la note sur ce vers.

304. Τοῖς δ' Ὀδυσεὺς.... Répétition du vers XIV, 459.

305-306. Ἤ.... ἦ, comme au vers 300 : si.... ou bien si.

αὐτοῦ ἐνὶ σταθμῷ, ἢ ὀτρύνειε πόλινδε·
Κέκλυθι νῦν, Εὔμαιε, καὶ ἄλλοι πάντες ἑταῖροι·
ἠῶθεν προτὶ ἄστυ λιλαίομαι ἀπονέεσθαι
πτωχεύσων, ἵνα μή σε κατατρύχω καὶ ἑταίρους.
Ἀλλά μοι εὖ θ' ὑπόθευ, καὶ ἅμ' ἡγεμόν' ἐσθλὸν ὄπασσον, 310
ὅς κέ με κεῖσ' ἀγάγῃ· κατὰ δὲ πτόλιν αὐτὸς ἀνάγκῃ
πλάγξομαι, αἴ κέν τις κοτύλην καὶ πύρνον ὀρέξῃ.
Καί κ' ἐλθὼν πρὸς δώματ' Ὀδυσσῆος θείοιο
ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ·
καί κε μνηστήρεσσιν ὑπερφιάλοισι μιγείην, 315
εἴ μοι δεῖπνον δοῖεν, ὀνείατα μυρί' ἔχοντες.

306. Αὐτοῦ (là-même) est précisé par ἐνὶ σταθμῷ.

308. Ἠῶθεν, à l'aurore : demain dès le matin. — Ἀπονέεσθαι, m'en aller d'ici. Le sens est *discedere*, et non *reverti ;* car Ulysse n'est point venu de la ville, et n'a pas dit non plus qu'il en vînt.

309. Πτωχεύσων, devant mendier : pour y quêter ma subsistance. Didyme (*Scholies* H) : πτωχείαν ἀποποιησάμενος, ἢ τὰ πτωχοῖς ἁρμόδια αἰτήσων. — Ἵνα μή σε κατατρύχω, afin que je ne t'épuise pas : afin que toi et tes amis vous ne preniez pas sur vos maigres ressources pour nourrir un étranger.

310. Καὶ ἅμ' ἡγεμόν(α). Ancienne variante, καί μ' ἡγεμόν(α), c'est-à-dire καί μοι. Mais l'élision de la diphthongue μοι est fort rare dans Homère. D'ailleurs μοι est déjà exprimé dans la phrase, et n'a nul besoin d'être répété. Ainsi ἅμ(α) est très-bien à sa place.

311. Κεῖσ(ε), *illuc*, là : à la ville. — Αὐτός, moi-même : sans que le guide me conduise. — Ἀνάγκῃ. Il s'agit d'une nécessité morale, de l'obligation de n'être plus à charge à son hôte. Voyez plus haut, vers 309.

312. Κοτύλην καὶ πύρνον, une cotyle et un morceau de pain. La cotyle était un gobelet extrêmement petit. Voyez l'*Iliade*, XXII, 494-495. Ulysse parle donc probablement de ce que nous appellerions *un doigt de vin*. Cependant les anciens entendaient ici, par κοτύλην, un peu d'eau à boire. *Scholies* H et Q : ὕδωρ κοτύλης ἤτοι ποτηρίου. L'exemple que je viens de rappeler proteste, ce semble, contre cette explication. On se souvient en effet qu'Andromaque regarde comme le comble de l'indigence, même pour un tout jeune enfant, d'en être réduit à la cotyle. C'est à peine, dit-elle, de quoi humecter ses lèvres : χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν. — Πύρνον semble être du genre neutre, puisqu'on verra, XVII, 362, πύρνα à l'accusatif pluriel. Cependant les anciens le regardaient comme masculin, ou tout au moins hésitaient à le déclarer neutre. Eustathe : τοῦ δὲ πύρνου τὸ γένος ἄδηλόν φασιν εἶναι. εἰ δὲ καὶ πύρνα εὕρηται παρὰ τῷ ποιητῇ, ὑποπτεύεται καὶ οὕτως ἡ λέξις, μήποτε μεταπέπλασθαι ὡς τὰ σταθμὰ, καὶ τὰ κέλευθα, καὶ τὰ δεσμὰ, καὶ τὰ τοιαῦτα. λέγει δὲ πύρνον τὸν πύρινον, ὅ ἐστι σίτινον, ἄρτον ἢ ψωμὸν κατὰ τοὺς παλαιούς. On peut considérer ce passage d'Eustathe comme une citation d'Aristarque à peu près textuelle. Hérodien (*Scholies* B, H et Q) dit en effet des choses analogues : τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ, ὁ δὲ τόνος ὡς τόρνος. πύρνος ἐστὶ πύρινος ψωμὸς, ἀπὸ τοῦ πυρός, ὁ σῖτος. — L'article d'Apollonius sur πύρνος ou πύρνον est altéré et incomplet ; mais on y a joint celui-ci, sans doute en guise de rectification ou d'éclaircissement : ὁ δὲ Ἀπίων τὰ μὲν πύρνα σιτία, τὸν δὲ πύρνον ψωμόν. Il est assez curieux de voir Apion aristarchiser, ce qui est loin de lui être ordinaire.

313. Καί, puis ensuite. De même au vers 315.

Αἶψά κεν εὖ δρώοιμι μετὰ σφίσιν, ὅττι ἐθέλοιεν.
Ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Ἑρμείαο ἕκητι διακτόρου, ὅς ῥά τε πάντων
ἀνθρώπων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει, 320
δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειε βροτὸς ἄλλος,
πῦρ' τ' εὖ νηῆσαι διά τε ξύλα δανὰ κεάσσαι,
δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι·

108. Ξείνους τε n'est point pour καὶ ὁράασθαι ξείνους. C'est le commencement de l'explication de τάδε.... ἀεικέα ἔργα. Toute la fin du discours n'est autre chose que le développement de cette expression générale par une série d'appositions. — Στυφελιζομένους, brutalement repoussés. La glose des *Scholies* B et V, ὑβριζομένους ἢ προπηλακιζομένους, ne rend pas toute l'énergie du terme ; car στυφελίζω signifie heurter et culbuter. — Γυναῖκας et son adjectif δμωάς dépendent de ῥυστάζοντας.

109. Ῥυστάζοντας se rapporte à μνηστῆρας sous-entendu : les prétendants qui violent. Cela est dit par syllepse ; car beaucoup de ces femmes étaient des com-

καὶ οἶνον διαφυσσόμενον, καὶ σῖτον ἔδοντας 110
μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ἔργῳ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοις ἐπιμέμφομαι, οἷσίπερ ἀνὴρ 115
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται.
Ὧδε γὰρ ἡμετέρην γενεὴν μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκείσιος υἱὸν ἔτικτεν,

plaisantes et des complices. Ici encore les commentateurs anciens affaiblissent l'expression. *Scholies* B et V : ἕλκοντας, βιαζομένους. *Scholies* Q et V : μεθ' ὕβρεως σπαράσσοντας. Cependant ἕλκοντας peut être considéré comme un synonyme à peu près exact de ῥυστάζοντας. Voyez, *Iliade*, VI, 465, la note sur ἑλκηθμοῖο.

110. Ἔδοντας. Il s'agit de nouveau des prétendants.

111. Μὰψ αὔτως. Voyez la note du vers III, 138. — Ἀτέλεστον, adverbe : sans cesse ni fin. — Ἀνηνύστῳ ἐπὶ ἔργῳ, développement de ἀτέλεστον : par une œuvre qui n'aboutit jamais à son terme. *Scholies* Q : ἀπολύτως ἄνυσιν καὶ πέρας μὴ ἐπιδεχομένῳ. οὐ γὰρ ἤνυον οἱ μνηστῆρες τὸ γυναῖκα λαβεῖν τὴν τοῦ Ὀδυσσέως.

113. Τοιγὰρ.... Répétition du vers I, 179, sauf un léger changement.

114-116. Οὔτε τί μοι.... Télémaque, dans sa réponse, reprend toutes les expressions de son interlocuteur. On a vu, XI, 198-201, un remarquable exemple de cette forme de dialogue dont les poëtes dramatiques ont tant usé depuis.

114. Μοι dépend de χαλεπαίνει, mais il est sous-entendu avec ἀπεχθόμενος. — Ἀπεχθόμενος, au dire de quelques modernes, doit être changé en ἀπεχθομένῳ. Cette correction, toute de fantaisie, ne servirait qu'à embrouiller le texte. — Χαλεπαίνει. Voyez plus haut, vers 72, la note sur χαλεπήνῃ.

115-116. Κασιγνήτοις.... Voyez plus haut les notes des vers 97 et 98.

117. Ὧδε (*sic*) se rapporte à ce qui suit : comme je vais dire. La glose οὕτως (*Scholies* H) rappelle que ὧδε, chez Homère, n'est jamais adverbe de lieu. — Μούνωσε rendit unique, c'est-à-dire a réduit à un seul mâle par chaque génération. L'expression, très-vague par elle-même, est expliquée bien nettement dans les trois vers qui vont suivre. — Il est singulier que certains modernes aient trouvé moyen de se tromper sur le sens de μούνωσε. Ainsi Clarke, Barnes et d'autres. Le premier dit : « Nostrum genus *solitarium fecit* Jupi« ter; » le second : « Nostram progeniem « solam et *quasi singularem fecit* Jupiter. » Bothe remarque, à ce propos, que la langue allemande permet une traduction littérale, mais que Voss a négligé ou dédaigné de se servir du terme qu'il avait sous la main : « Ne Vossius quidem usus est verbo « quod præbebat lingua patria, ex hac « parte felicior, *vereinzeln*. Ita enim hæc « vertit vir clarissimus : den durch einzelne « pflanzte Kronion unser Geschlecht fort; « cum posset : denn so hat ja unser Gesch« lecht der Kronide vereinzelt. » — Eustathe, au milieu de réflexions fort inutiles sur le malheur de Télémaque réduit à ne compter que sur lui-même, a du moins mis en pleine lumière la pensée du jeune homme : ὅρα δὲ ὅτι τρεῖς στίχοι ἐφεξῆς ἔχουσι κείμενον ἐξ ἀρχῆς τὸ μοῦνον, κατὰ σχῆμα ἐπαναφορᾶς, οἷς σύστοιχον τὸ ἐμούνωσε. Bien qu'Eustathe ne fasse là qu'une simple observation grammaticale, cette observation constate le rapport exact du vers 117 avec les vers 118-120, et par conséquent détermine bien le sens.

118. Ἀρκείσιος. D'après la tradition mythologique recueillie par les Alexandrins, Arcésius était fils de Jupiter et d'Eurydice; et sa femme, la mère de Laërte, se nommait Chalcoméduse.

μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ τέκεν· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν λίπεν, οὐδ' ἀπόνητο. 120
Τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ οἴκῳ.
Ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον. 125
Ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
Ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ 130
εἴφ', ὅτι οἱ σῶς εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
Αὐτὰρ ἐγὼν αὐτοῦ μενέω, σὺ δὲ δεῦρο νέεσθαι,
οἴῃ ἀπαγγείλας· τῶν δ' ἄλλων μήτις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανόωνται.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 135
Γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.

119. Πατήρ, c'est-à-dire Λαέρτης.

120. Μοῦνον, sous-entendu υἱόν. — Οὐδ' ἀπόνητο, sous-entendu ἐμοῦ : et ne tira aucun plaisir de moi, c'est-à-dire et il n'a pas même eu la satisfaction de voir grandir son fils. Télémaque ne parle point de services qu'il eût pu rendre à son père ; car c'est depuis peu de jours seulement qu'il commence à se sentir un homme. Il ne s'agit que d'une jouissance morale.

121. Μάλα μυρίοι. On a vu la même hyperbole, XV, 556.

122-128. Ὅσσοι γὰρ.... Voyez les vers I, 245-251 et les notes sur ce passage.

129. Ἀλλ' ἤτοι.... Voyez le vers I, 267 et la note sur ce vers.

130. Ἄττα. Voyez plus haut, vers 31, la note sur ce mot. — Σὺ δ(έ), quant à toi : pour ce qui concerne ta personne. — Ἐχέφρονι. Ancienne variante, περίφρονι.

131. Εἰ(πέ) doit être intimement joint à ἔρχεο : va dire. — Οἱ σῶς.... Voyez le vers XV, 42. Aristarque fait observer (*Scholies* Q) que le voyage d'Eumée à la ville est indispensable : (ἡ διπλῆ, ὅτι) ἀναγκαία ἡ Εὐμαίου πρὸς τὴν πόλιν ἀποστολή· τοῖς γὰρ ἑταίροις εἰρήκει· αὐτὰρ ἐγὼν ἀγρούς.... (XV, 504-505). Le critique ajoutait sans doute : et le séjour de Télémaque à la campagne doit être plus long qu'il ne l'a dit à ses compagnons ; car, s'il avait dû revenir le soir, il se serait dispensé probablement d'envoyer un messager. Au reste le poëte use de son droit d'invention, afin de ménager un tête-à-tête entre le père et le fils.

132. Αὐτοῦ μενέω, *hic manebo*, je resterai ici. — Νέεσθαι, l'infinitif dans le sens de l'impératif.

133. Οἴῃ, à elle seule : uniquement à Pénélope.

134. Πολλοί. Cette expression générale s'applique à tous ceux qui sont d'accord avec les prétendants, aussi bien qu'aux prétendants eux-mêmes.

136. Γιγνώσκω,... Eumée dit trois fois la même chose, mais en accentuant chaque fois davantage sa pensée. C'est de la subtilité que d'appliquer, comme faisaient quelques anciens, γιγνώσκω et φρονέω chacun

Ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἢ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρῳ· ὃς τείως μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
ἔργα τ' ἐποπτεύεσκε, μετὰ δμώων τ' ἐνὶ οἴκῳ 140
πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύγε ᾤχεο νηῒ Πύλονδε,
οὔπω μίν φασιν φαγέμεν καὶ πιέμεν αὔτως,
οὐδ' ἐπὶ ἔργα ἰδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς. 145

à un point particulier. *Scholies* Q : ὅ τι ἐπιβουλεύῃ γιγνώσκω, καὶ φρονῶ ἅτινά μοι κελεύεις. Eumée dit simplement : « J'ai bien entendu ; je comprends au mieux ; je ne risque pas de me tromper en exécutant tes ordres. » Tout cela se rapporte à l'ensemble des vers 130-134.

138. Ἤ, si. Eumée demande si, oui ou non, il doit aller chez Laërte ; mais il exprime seulement une moitié de l'alternative. Voyez le vers XIII, 415. — La leçon εἰ n'est qu'une faute d'iotacisme, ou une mauvaise correction byzantine. L'ancienne variante ἦ (est-ce que) est une leçon plus légitime. Elle a été adoptée par Dindorf ; mais il a oublié, je ne sais pourquoi, de marquer dans sa ponctuation que c'est une interrogation directe. — Αὐτὴν ὁδόν, dans le même voyage.

139. Τείως (jusqu'alors) est expliqué par αὐτὰρ νῦν, ἐξ οὗ σύγε..., vers 142 : jusqu'à ton départ pour Pylos. — Ὀδυσσῆος, génitif causal : au sujet d'Ulysse.

140. Ἔργα, les cultures. Voyez la note du vers II, 22. — Quelques anciens entendaient ici le mot d'une façon plus générale. *Scholies* H : τὰ κτήματα καὶ τὸν οἶκον τοῦ Ὀδυσσέως. Mais cette interprétation n'est point exacte, vu que Laërte, depuis longues années, vivait dans sa maison des champs. Voyez les vers I, 189-193. Il ne s'agit que de ses travaux sur son domaine — Μετὰ δμώων τ(ε), c'est-à-dire καὶ μετὰ δμώων. Dans le passage que je viens de rappeler, il n'est question que d'une vieille servante. Mais il est évident que le bonhomme ne travaillait guère de ses mains, et que c'est par les mains d'esclaves ou d'hommes à gages qu'il faisait son métier de laboureur, de jardinier et de vigneron. La vieille servante tenait la maison en état, et faisait la cuisine. — On a pu remarquer que le faux Mentès, quand il décrit l'existence de Laërte, ne parle que sur des ouï-dire. Il ne sait, ou n'est censé savoir que le gros des choses ; ou plutôt il sous-entend tout ce qui va de soi dès qu'on parle d'un homme vivant sur son domaine. — Ἐνὶ οἴκῳ. C'est la maison de Laërte à la campagne, et non la maison d'Ulysse à la ville, puisque Laërte ne mettait plus les pieds à la ville : τὸν οὐκέτι φασὶ πόλινδε ἔρχεσθ(αι), comme dit Mentès, I, 189-190.

141. Στήθεσσιν ἀνώγοι. Ancienne variante, στήθεσσι κελεύοι.

143. Οὔπω dans le sens de οὐκέτι. Cette négation porte sur les deux infinitifs. — Αὔτως, de même : comme il faisait auparavant. *Scholies* B : ἀντὶ τοῦ ὡσαύτως. — Ancienne variante, ἔμπης. Mais il est difficile d'admettre une abstinence absolue. Les *Scholies* H, qui mentionnent cette leçon, ajoutent : ἀντὶ τοῦ ὁμοίως καὶ ὡς πρώην ἤσθιεν. Une pareille explication n'a aucun rapport avec ἔμπης, et elle devrai être placée à la suite du lemme, c'est-à-dire de la vulgate. C'est la note de Didyme sur αὔτως, note dont les *Scholies* B ne donnent que la substance. — Bekker et Dindorf écrivent αὕτως par un esprit rude ; mais il n'y a aucune raison de changer ici l'orthographe habituelle du mot.

144. Ἐπὶ doit être joint à ἰδεῖν, et ἐπιδεῖν est identique à ἐποπτεύειν, dont on a vu le fréquentatif, vers 140, pour désigner l'occupation ordinaire du vieillard.

145. Φθινύθει. A mesure que le vieillard maigrit, sa peau se rapproche de ses os. Ce n'est pas elle qui se fond ; mais elle a l'air de se fondre. L'expression peint le fait apparent. Eumée dit, mais d'une façon

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄλγιον, ἀλλ' ἔμπης μιν ἐάσομεν, ἀχνύμενοί περ·
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσιν,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
Ἀλλὰ σύγ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς 150
πλάζεσθαι μετ' ἐκεῖνον· ἀτὰρ πρὸς μητέρα εἰπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.
Ἦ ῥα, καὶ ὦρσε συφορβόν· ὁ δ' εἵλετο χερσὶ πέδιλα,

très-poétique, *il n'a tantôt plus que la peau et les os.*

147. Ἄλγιον. Voyez la note du vers IV, 292. Télémaque regrette le parti qu'il prend de ne pas informer directement Laërte. *Scholies* B et Q : ἄλγιον μὲν τὸ μὴ εἰπεῖν.—Ἀλλ' ἔμπης.... Voyez l'*Iliade*, XVIII, 112; XIX, 8 et 65; XXIV, 523.

148. Εἰ γάρ πως.... Construisez : εἰ γὰρ πάντα εἴη πως αὐτάγρετα βροτοῖσιν, *si enim omnia essent ullo pacto proprii arbitrii mortalibus*, s'il y avait un moyen pour les mortels d'avoir tout à souhait. *Scholies* V : αὐτάγρετα, αὐθαίρετα, αὐτόληπτα, χωρὶς καμάτου. La note de Didyme, dont ceci est le résumé, se trouve dans les *Scholies* B et H : αὐθαίρετα, αὐτεξούσια ἢ παραυτὰ ἀγρευόμενα, ἀντὶ τοῦ, εἰ ὅσα ἐθέλομεν παραυτὰ καὶ ἐγίνετο.

149. Πρῶτον, avant tout. — Τοῦ πατρός, du héros (mon) père. Voyez la note du vers II, 134.

150. Ἀγγείλας, ayant porté la nouvelle : une fois ton message accompli.

151. Πλάζεσθαι, l'infinitif dans le sens de l'impératif. — Ἐκεῖνον, celui-là : Laërte. — Μητέρα. Les *Scholies* H mentionnent μητρός comme variante. Mais cette leçon ne donnerait aucun sens. — Εἰπεῖν, comme εἰπέ : dis.

152. Ὀτρυνέμεν, de dépêcher : qu'elle dépêche.

153. Κείνη, celle-là : l'intendante. — Κεν ἀπαγγείλειε, est en état de faire le message. Ajoutez : avec tout le secret désirable. C'est le mot γάρ qui indique le sens. *Scholies* B et Q : εἰπὲ τῇ Πενελόπῃ ἐκπέμψαι τὴν δουλίδα πρὸς τὸν Λαέρτην λάθρα· ἐκείνη γὰρ αὐτῷ δύναται ἀναγγεῖλαι. ἀπὸ κοινοῦ γὰρ τὸ κρύβδην. La dernière phrase signifie que κρύβδην est sous-entendu avec κεν ἀγγείλειε, car il ne peut s'y rapporter grammaticalement. Mais l'expression τὴν δουλίδα, dont s'est servi le commentateur, ne rend pas bien ἀμφίπολον ταμίην. Pénélope avait plus d'une servante. Télémaque désigne spécialement celle qui était sa femme de confiance; et l'obligation du secret explique suffisamment pourquoi. Bothe : « Non tam honoris quam fidei et taciturnitatis causa nuntium Laertæ mitti jubet promam, non ancillam. »—Comme on ne voit pas, dans ce qui suit, Pénélope envoyer son intendante à Laërte, quelques anciens en concluaient que les vers 152-153 sont interpolés. Mais la recommandation de Télémaque est si naturelle, qu'une fois Pénélope informée de son désir, il n'est pas douteux qu'elle n'y ait incontinent satisfait. Le poëte n'a pas besoin de le dire, pour que nous en soyons moralement sûrs. C'est là un de ces cas, si fréquents dans les deux poëmes, où l'on doit regarder comme fait ce qui a dû se faire. Ceux qui n'admettaient pas l'athétèse appliquaient donc à la difficulté soulevée par les enstatiques le principe du κατὰ σιωπώμενον. *Scholies* H : νοθεύονται, ὅτι μὴ πέμπει Πηνελόπη πρὸς Λαέρτην, εἰ μὴ ἄρα σιωπωμένως. — J'ajoute qu'il est impossible de comprendre comment on pourrait retrancher les deux vers, attendu que ἀτὰρ πρὸς μητέρα εἰπεῖν n'a un sens que par eux, et n'est qu'un début de phrase. Et puis Télémaque serait féroce, si son discours se terminait sur cette idée : « Ne perds pas ton temps à courir jusque chez mon grand-père. »

154-155. Ἦ ῥα, καὶ.... Ces deux vers ont chacun cinq dactyles. Ameis voit, dans

Τὸν δ' αὖτε προσέειπε συϐώτης, ὄρχαμος ἀνδρῶν·
Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ οἱ αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δακρυχεούσῃ.
Ὣς ἄρα φωνήσας οἱ ἐδέξατο χάλκεον ἔγχος· 40
αὐτὰρ ὅγ' εἴσω ἴεν καὶ ὑπέρϐη λάϊνον οὐδόν.
Τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπόειξεν Ὀδυσσεύς·
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε, φώνησέν τε·
Ἧσ', ὦ ξεῖν'· ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνήρ, ὃς καταθήσει. 45
Ὣς φάθ'· ὁ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συϐώτης
χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθεν·
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.

le lit est spécialement leur domaine. Les traducteurs latins ont pourtant admis la synonymie des mots ἐνευναίων et περιϐολαίων. On lit encore, dans l'Homère-Didot : *inopia stragularum*. — Ἀράχνια. *Scholies* B et H : καὶ τοῖς ἀμελουμένοις τόποις παραφύεται ἀράχνια. Eustathe dit la même chose; puis il ajoute : διὸ καὶ παρὰ Ἡσιόδῳ· ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια (*Œuvres et Jours*, vers 476). οὕτω δὲ καί τις ἕτερος ποιητὴς μισοπόλεμος, ἐθέλων εἰρήνην εὔξασθαι, ἀράχνας ἐπεύχεται νήματα ὑφάναι τοῖς ὅπλοις. Bothe pense que la dernière citation est empruntée à un poëte comique : « Comici, « opinor, senarius : καὶ τὰς ἀράχνας νή« ματ' ὑφάναι τοῖς ὅπλοις. » Cela est possible; mais ce poëte ne faisait qu'arranger en un autre mètre les paroles de Bacchylide. Bothe, ce semble, aurait dû le dire. Il compense cet oubli en rappelant l'agréable plaisanterie de Catulle sur sa bourse vide : « Plenus sacculus est aranearum (XIII, 8). »

37-39. Καὶ λίην.... Voyez les vers XI, 181-183 et les notes sur ce passage.

40. Ὣς ἄρα.... Voyez le vers XV, 282 et la note sur ce vers.

41. Ὅγ(ε), lui : Télémaque.

42. Ἕδρης.... ὑπόειξεν, se retira du siége : céda son siége. Ulysse est fidèle à son rôle de personnage inférieur. *Scholies* Q : ἐπερχομένῳ Τηλεμάχῳ τῆς καθέδρας ὑπεχώρησεν Ὀδυσσεύς. Voyez, XIV, 49-51, la description du siége qu'Eumée avait arrangé pour Ulysse. C'était son propre lit. — Les *Scholies* H attribuent ici, à Aristarque, la leçon ὑπέειξεν. Il y a probablement quelque erreur de nom, ou plutôt interversion de la leçon et du lemme. Je lirais volontiers : ὑπέειξεν· ὑπόειξεν Ἀρίσταρχος. C'est quelque grammairien postérieur à Aristarque qui a dû inventer ὑπέειξεν. Aristarque retranche tant qu'il peut l'augment syllabique; ce n'est pas pour l'introduire là où il n'a que faire.

43. Ἑτέρωθεν, d'autre part : de son côté. — Ἐρήτυε, sous-entendu αὐτόν.

44. Ἧσ', ὦ ξεῖν(ε). Ancienne variante, ἧσο, ξεῖν(ε). L'écriture archaïque ΗΣΟΞΕΝ permettait indifféremment les deux lectures. — Ἕδρην, un siége : quelque chose sur quoi on puisse s'asseoir. Eumée n'a point de siéges proprement dits dans sa cabane.

45. Πάρα pour πάρεστι : *adest*, est là. — Ἀνήρ. Il montre Eumée. — Καταθήσει, sous-entendu ἕδρην ἡμῖν : nous placera un siége, c'est-à-dire me fournira de quoi m'asseoir. *Scholies* H : πάρεστιν ἀνὴρ ὃς καθίσει ἡμᾶς.

46. Ὁ, lui : Ulysse. — Τῷ, à lui : à Télémaque.

47. Χεῦεν ὕπο, pour ὑπέχευε. Hérodien : ἀναστρεπτέον τὴν ὑπό. — Ὕπερθεν, par-dessus : pour couvrir le fagot.

48. Ἔνθα, là : sur ce siége.

Τοῖσιν δ' αὖ κρειῶν πίνακας παρέθηκε συβώτης
ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες· 50
σῖτον δ' ἐσσυμένως παρενήνεεν ἐν κανέοισιν,
ἐν δ' ἄρα κισσυβίῳ κίρνη μελιηδέα οἶνον·
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, 55
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
Ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; Πῶς δέ ἑ ναῦται
ἤγαγον εἰς Ἰθάκην; Τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί ἑ πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 60
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
Ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων·
φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ ἄστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ οἱ ἐπέκλωσεν τάγε δαίμων.
Νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν ἐκ νηὸς ἀποδρὰς 65
ἤλυθ' ἐμὸν πρὸς σταθμόν· ἐγὼ δέ τοι ἐγγυαλίξω.
Ἕρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·

49. Τοῖσιν, à eux : à Télémaque et à Ulysse.

50. Τῇ προτέρῃ, la veille.

51. Σῖτον.... Répétition, *mutatis mutandis*, du vers I, 147.

52. Ἐν δ' ἄρα.... Voyez le vers XIV, 78 et la note sur ce vers.

53. Αὐτὸς.... Répétition du vers V, 198.

54-55. Οἱ ... Formule habituelle dans tous les cas analogues.

56. Δῖον. Ancienne variante, θεῖον.

57. Ἄττα. Voyez plus haut, vers 31, la note sur ce mot.

57-59. Πῶς δέ ἑ ναῦται.... Voyez les vers I, 171-173 et les notes sur ce passage.

60. Τὸν.... Voyez le vers XIV, 55 et la note sur ce vers.

61. Τοιγὰρ.... Vers analogue à ceux qu'on a vus I, 179 et XIV, 192.

62. Ἐκ μὲν Κρητάων.... Voyez le vers XIV, 199 et les notes sur ce vers. — Εὔχεται n'a guère ici que la valeur de *il dit*. Didyme (*Scholies* V) : εὔχεται· νῦν λέγει. Cette observation peut s'appliquer à une foule de passages. Voyez dans l'*Iliade*, I, 91, la note sur εὔχεται εἶναι. Mais le mot εὔχομαι, au vers XIV, 199, dont celui-ci est une copie, conserve toute la force de son acception ; car l'étranger, dans son discours, ne débite que des vantardises. Il est d'une illustre patrie comme d'une illustre race, au moins quant à son dire.

64. Ἐπέκλωσεν τάγε, a filé ces choses : a fait ce destin. Didyme (*Scholies* Q et V) : εἱμαρμένον γενέσθαι ἐποίησεν.

66. Ἐγὼ δέ τοι ἐγγυαλίξω, sous-entendu αὐτόν : au reste, je le remettrai entre tes mains. *Scholies* H : ἐγγυήσομαι καὶ παρέξω.

67. Δέ est explicatif, et il équivaut à γάρ.

Εὔμαι', ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ; 70
Αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔπω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ καὶ δῶμα κομίζῃ,
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν· 75
ἦ ἤδη ἅμ' ἕπηται Ἀχαιῶν ὅστις ἄριστος
μνᾶται ἐνὶ μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσιν.
Ἀλλ' ἤτοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά·

69. Τοῦτο (cela) est le complément immédiat du verbe, et ἔπος θυμαλγές n'est qu'une apposition à τοῦτο.

70. Γάρ. Télémaque explique l'expression ἔπος θυμαλγές. — Ἐγών. Ancienne variante, ἐμῷ. — Ὑποδέξομαι est au subjonctif, pour ὑποδέξωμαι.

71-72. Αὐτὸς μὲν.... *Scholies* H et Q : παῖς εἰμὶ καὶ οὐκ ἔχω ἰσχὺν, τῇ ἀσθενείᾳ τῆς ἀτελοῦς ἡλικίας μου, ὅπως ἀμύνωμαι τοὺς κατ' ἐμὲ χαλεπαίνοντας, καὶ διὰ τοῦτο δυσχερῶς ἔχω τοῦτον τὸν ξένον μόνος ἐγὼ ὑποδέξασθαι.

72. Ἄνδρ(α), par opposition à νέος : un homme fait; un homme ayant toute sa vigueur. — Ὅτε, lorsque. Ancienne variante, ὅ τε en deux mots : lequel. C'était l'orthographe de Didyme (*Scholies* H) : δύο μέρη λόγου τὸ ὅ τε· σημαίνει δὲ τὸ ὅς τε, ἵν' ᾖ, τὸν ἄνδρα ὅς ἂν πρῶτος ᾖ χαλεπώτερος. Mais cette leçon est inadmissible avec la vulgate, dans laquelle χαλεπήνῃ a son sujet exprimé. Elle suppose, ce semble, que Didyme lisait ὅ τέ μοι, et non ὅ τέ τις, à moins pourtant qu'il n'ait pris ὅ τέ τις comme identique à ὅτις τε. Mais cela n'est pas vraisemblable. — Πρότερος, le premier : sans provocation de ma part.—Χαλεπήνῃ, sous-entendu μοι. Il faut donner à ce verbe un sens très-énergique : outrager, maltraiter. *Scholies* H : χαλεπῶς πράξῃ, εἰς χαλεπότητα τραπείη.

73. Δίχα, en deux parts : entre les deux résolutions dont je vais parler.

74. Ἦ, *utrum*, si. — Αὐτοῦ, adverbe. — Κομίζῃ. La variante κομίζοι n'est qu'une faute d'iotacisme, ou qu'une mauvaise correction imaginée d'après la glose de Didyme (*Scholies* V), ἐπιμέλοιτο.

76. Ἦ, *an*, ou bien si.

76-77. Ἀχαίων ὅστις ἄριστος.... ἀνήρ, c'est-à-dire ἀνδρὶ ἀρίστῳ Ἀχαίων, ὅστις.

77. Μνᾶται, sous-entendu αὐτήν : la recherche en mariage. — Πλεῖστα πόρῃσιν. Il s'agit des ἔεδνα, des cadeaux faits par le fiancé aux parents de la future épouse. Voyez la note du vers XI, 282. *Scholies* H : δόξαν γὰρ ταῖς ἀγαθαῖς ἔφερον (lisez ἔφερε) τὸ πολλὰ ὑπὲρ τοῦ μὴ γαμηθῆναι (effacez la négation) λαβεῖν.

78. Τὸν ξεῖνον, cet étranger.

79. Ἕσσω μιν, je le revêtirai. Le verbe ἕσσω a déjà son complément dans τὸν ξεῖνον, et μιν est redondant, du moins au point de vue de la stricte grammaire. Mais on peut le considérer comme une insistance expressive. — Bothe, qui trouve le pléonasme vicieux, change ἕσσω μιν en ἕσσω μέν, leçon qu'il justifie comme il suit : « Notavit ex Harleiano codice Porsonus, vi« deri aliquos legisse ἕσσωμεν, quod ἕσσω « μέν intelligendum esse nemo dubitave« rit. » Il est très-possible, en effet, que ἕσσω μέν soit une ancienne variante; mais nous n'en savons rien du tout. Ce que nous savons, c'est qu'Hérodien lisait ἕσσωμι. Cela est évident par sa note prosodique (*Scholies* H) : τηρητέον τοῦ ἕσσω τὸν τόνον· πλεονάζει γὰρ τὸ μι, ὡς κτείνωμι, ἀγάγωμι, τύχωμι. — Εἵματα καλά, apposition : qui seront de beaux vêtements.

δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα, 80
πέμψω δ' ὅππη μιν κραδίη θυμός τε κελεύει.
Εἰ δ' ἐθέλεις, σὺ κόμισσον, ἐνὶ σταθμοῖσιν ἐρύξας·
εἵματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
ἔδμεναι, ὡς ἂν μή σε κατατρύχῃ καὶ ἑταίρους.
Κεῖσε δ' ἂν οὔ μιν ἔγωγε μετὰ μνηστῆρας ἐῷμι 85
ἔρχεσθαι· λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσιν·
μή μιν κερτομέωσιν, ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
Πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα
ἄνδρα καὶ ἴφθιμον· ἐπειὴ πολὺ φέρτεροί εἰσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς· 90
Ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶν,
ἦ μάλα μευ καταδάπτετ' ἀκούοντος φίλον ἦτορ,

80. Ποσσί, pour les pieds : pour le chausser.

81. Πέμψω.... Voyez le vers XIII, 517 et la note sur ce vers.

82. Κόμισσον, sous-entendu αὐτόν : soigne-le. *Scholies* Q : ἐπιμελείας ἀξίωσον.

83. Σῖτον désigne ici non-seulement le pain, mais les vivres en général.

84. Ἔδμεναι, comme ὥστε ἔδμεναι : pour manger ; pour sa subsistance.

85. Κεῖσε, là-bas : à la ville. — Ἂν.... ἐῷμι, je permettrais. — Μετὰ μνηστῆρας dépend de ἔρχεσθαι.

86. Ἔχουσιν a pour sujet μνηστῆρες sous-entendu.

87. Μή, *ne forte*, je crains que. — Ἔσσεται est expliqué ici comme un subjonctif, à cause de κερτομέωσιν. C'est plutôt le futur, dans le sens du conditionnel. Télémaque dit, ce semble : « Et alors ma douleur serait bien cruelle. »

88. Πρῆξαι.... τι, d'avoir obtenu un résultat : de réussir ; de triompher. — Ἀργαλέον, sous-entendu ἐστί : c'est chose terrible ; c'est chose presque impossible. — Ἐόντα, qui est, c'est-à-dire lorsqu'il se trouve.

89. Ἄνδρα est le sujet du verbe πρῆξαι. — Καὶ ἴφθιμον, même vaillant : si vaillant qu'il soit. — Φέρτεροί εἰσιν, ils sont les plus forts : le vaillant serait écrasé par le nombre. — Bien que μετὰ πλεόνεσσιν signifie seulement *inter plures*, il s'agit évidemment d'une lutte contre ceux parmi lesquels se trouverait seul le vaillant. *Scholies* Q : δύσκολόν ἐστι μάχεσθαι μετὰ πλεόνων καὶ αὐτὸν τὸν ἰσχυρόν. La conclusion, que Télémaque ne tire pas, mais qui sort d'elle-même, c'est que son impuissance serait plus grande encore puisqu'il n'est pas même un homme fait. Voyez plus haut, vers 71-72.

91. Θήν, aussi bien. — Ancienne variante, δή. C'est ou une mauvaise correction, ou une glose passée de la marge dans le texte, et qui a évincé le terme poétique. — Bothe conjecture, d'après une fausse leçon byzantine (θηύ;), qu'Homère, au lieu de θήν μοι, avait dit θεσμῷ (*ex more*, selon l'ordre habituel). Mais ce θεσμῷ, surtout dans le même vers que θέμις, semble un peu bizarre. D'ailleurs l'existence de μοι dans le vers est constatée par les *Scholies* H : τὴν τελευταίαν τοῦ ἐπεί ὀξυτονητέον, διὰ τὴν μοι ἐγκλιτικὴν οὖσαν. — Si cette note, évidemment tirée d'Hérodien, a été transcrite exactement, Hérodien plaçait le pronom immédiatement après ἐπεί. Le transcripteur a peut-être oublié ce qui concernait la particule. Mais peu nous importe μοί θην ou θήν μοι, puisqu'il s'agit uniquement de savoir si μοι était ou n'était pas dans le vers.

92. Καταδάπτετ(αι), est rongé : est torturé. *Scholies* V : ἐσθίεται.

ἄλλοτε μὲν πτωχῷ ἐναλίγκιον, ἄλλοτε δ' αὖτε
ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροῒ εἵματ' ἔχοντι. 210
Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.
Ὣς ἄρα φωνήσας κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο, δάκρυα λείβων.
Ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο· 215
κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοί,
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσίτε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
ὣς ἄρα τοίγ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον.
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο, 220
εἰ μὴ Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ποίῃ γὰρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; Τίνες ἔμμεναι εὐχετόωντο;
Οὐ μὲν γάρ τί σε πεζὸν ὀΐομαι ἐνθάδ' ἱκέσθαι.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς· 225
Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵτε καὶ ἄλλους

211. Δέ est explicatif, et il équivaut à γάρ.

212. Κυδῆναι se rapporte à la splendeur actuelle de la personne d'Ulysse, et κακῶσαι se rapporte à son misérable aspect d'auparavant.

214. Ἀμφιχυθείς. Il y avait une autre leçon dans certains textes antiques, comme l'indique l'observation de Didyme (*Scholies* H) : Ἀρίσταρχος, ἀμφιχυθείς. Mais on ignore quelle pouvait être cette leçon. — Πατέρ' ἐσθλόν dépend de ὀδύρετο.

215. Ὑπ(ό) doit être joint à ὦρτο. Voyez le vers IV, 113.

216. Ἀδινώτερον ἤ τ' οἰωνοί, sous-entendu κλαίουσι : d'une façon plus intense que ne se lamentent des oiseaux de proie. *Scholies* B et Q : ἀντὶ τοῦ πλέον τῶν οἰωνῶν. On a vu, *Iliade*, XVIII, 316, ἀδινοῦ γοοῖο.

217. Φῆναι et αἰγυπιοί sont des appositions explicatives à οἰωνοί. *Scholies* Q : εἴδη ταῦτα ἀετῶν. Voyez, III, 372, la note sur φήνῃ.

218. Ἀγρόται.... Virgile, *Géorgiques*, IV, 511-512 : « ....durus arator observans « nido implumes detraxit. » — Πετεηνά, en état de voler. *Scholies* H : πρὸ τοῦ ἰσχύειν πέτεσθαι.

219. Ἐλεεινὸν.... δάκρυον. Voyez la note du vers VIII, 531. Je n'ai pas besoin de remarquer que la comparaison porte sur les gémissements plaintifs, et non sur les larmes.

220. Καί νύ κ' ὀδυρομένοισιν.... Vers emprunté à l'*Iliade*, XXIII, 154.

222. Ποίῃ, selon Ameis, est adverbe, et équivaut à πῶς du vers 57. On le rapporte ordinairement à νηΐ, ce qui paraît préférable; car il n'y a pas, chez Homère, un seul exemple de ποίῃ adverbe. Le sens est le même, ποίῃ νηΐ n'étant autre chose qu'une paraphrase de πῶς. — Νῦν (maintenant) est dit par opposition aux longues années de courses errantes rappelées plus haut, vers 205.

223-224. Ἤγαγον.... Voyez les vers I, 172-173 et les notes sur ce passage.

ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται·
καί μ' εὕδοντ' ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰς Ἰθάκην, ἔπορον δέ μοι ἀγλαὰ δῶρα, 230
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντήν.
Καὶ τὰ μὲν ἐν σπήεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης,
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
Ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον, 235
ὄφρ' εἰδέω ὅσσοι τε καὶ οἵ τινες ἀνέρες εἰσίν·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας
φράσσομαι, εἴ κεν νῶϊ δυνησόμεθ' ἀντιφέρεσθαι
μούνω ἄνευθ' ἄλλων, ἦ καὶ διζησόμεθ' ἄλλους.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 240
Ὦ πάτερ, ἤτοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγα εἶπες· ἄγη μ' ἔχει· οὐδέ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
Μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὔτε δύ' οἶαι, 245

228. Ὅτις σφέας. Ancienne variante, ὅ τέ σφεας. Voyez la note du vers XII, 40.

229-231. Καί μ' εὕδοντ' ἐν νηῒ.... Voyez les vers XIII, 134-136 et les notes sur ce passage.

230. Εἰς Ἰθάκην. Au vers XIII, 135, il y a εἰν Ἰθάκῃ. Mais là ce n'est point Ulysse qui parle, et Ulysse parlant de lui-même. Didyme (*Scholies* H) : εἰς Ἰθάκην γὰρ αὐτὸν κατήγαγον ἐκεῖνοι· αὐτὸς δὲ ἐν Ἰθάκῃ ἐστὶν, ὥστε εἰς Ἰθάκην γραπτέον. Ceci montre que quelques-uns écrivaient εἰν Ἰθάκῃ dans les deux passages.

233. Δεῦρ(ο), ici : chez Eumée.

234. Δυσμενέεσσι, aux ennemis : contre nos ennemis. — Φόνου πέρι βουλεύσωμεν. Ancienne variante, φόνου περιβουλεύσωμεν. Cette leçon a été rejetée par Hérodien (*Scholies* H) : ἀναστρεπτέον τὴν περί.

236. Εἰδέω, dissyllabe par synizèse. Ancienne variante, ἰδέω. Voyez l'*Iliade*, XIV, 235, et la note sur ce vers.

239. Μούνω.... Denys de Thrace, un des disciples d'Aristarque, regardait ce vers comme interpolé. Didyme (*Scholies* H) : ἀθετεῖ Διονύσιος. Mais on ignore quels étaient les motifs de l'athétèse. — Ἄνευθ' ἄλλων, sans autres : sans aides. — Ἄλλους, des autres : des aides.

242. Ἔμεναι, sous-entendu σέ : que tu étais. — Βουλήν, corrélatif de χεῖρας : par le conseil.

243. Ἀλλὰ λίην.... On a vu, III, 227, un vers analogue. — Οὐδέ κεν εἴη, *neque liceret*, et il serait impossible : car c'est chose impossible.

245. Δ(έ) est explicatif, et il équivaut à γάρ, comme οὐδέ tout à l'heure à οὐ γάρ. — Ἀτρεκές, adverbe : justement, c'est-à-dire ni plus ni moins qu'une. *Scholies* Q : νῦν, μόνον, ὡς τὸ ἀτρεκὲς αἷμ' ἔσσευα βαλών. δύναται μέντοι κἀκεῖ τὸ φανερὸν καὶ πρόδηλον, καὶ ἐνταῦθα τὸ ἀκριβὲς καὶ ἀληθές. L'exemple cité se trouve dans l'*Iliade*, V, 208. Mais là le mot ἀτρεκές est adjectif plutôt qu'adverbe, tandis qu'ici il ne peut être adjectif, puisque δεκάς est du féminin. Il est clair

ἀλλὰ πολὺ πλέονες· τάχα δ' εἴσεαι ἐνθάδ' ἀριθμόν.
Ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ἓξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρές τε καὶ εἴκοσι φῶτες ἔασιν,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐείκοσι κοῦροι Ἀχαιῶν, 250
ἐκ δ' αὐτῆς Ἰθάκης δυοκαίδεκα πάντες ἄριστοι,
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε, δαήμονε δαιτροσυνάων.
Τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,
μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών. 255
Ἀλλὰ σύγ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
φράζευ, ὅ κέν τις νῶϊν ἀμύνοι πρόφρονι θυμῷ.

d'ailleurs que δεκὰς ἀτρεκές équivaut à δεκὰς μία, et que la traduction *decas una* est exacte, sinon littérale.

246. Πλέονες, sous-entendu δεκάδες. Ancienne variante, πλεῖον adverbe. — Il y avait cent huit prétendants, c'est-à-dire, en comptant à la façon d'Homère, près de onze décades. Didyme (*Scholies* H) : τοὺς μνηστῆρας ρη' Ἀρίσταρχός φησι, συμφωνεῖ δὲ τῷ ἀριθμῷ καὶ τὰ ἔπη. — Ἐνθάδ(ε), ici, c'est-à-dire avant que je passe à autre chose. D'autres entendent, *ex me*, c'est-à-dire sans que tu aies besoin d'aller t'informer ailleurs.

248. Κεκριμένοι, d'élite : les plus distingués de l'île. C'est un synonyme de ἄριστοι, car il n'y a pas eu d'élection proprement dite. Les premiers seuls se sont mis sur les rangs. — Δρηστῆρες, serviteurs. Voyez, XV, 317, la note sur δρώοιμι.

249. Πίσυρές τε καὶ εἴκοσι. Les digammistes veulent qu'on supprime la particule τε, et Bekker écrit comme un seul mot tout le nombre : πισυρεσκαιϝείκοσι. Mais on a vu καί bref devant εἴκοσι, *Iliade*, XI, 25, et l'on se rappelle qu'Ulysse disait tout à l'heure (vers 206) : ἤλυθον εἰκοστῷ ἔτεϊ. D'après ces exemples, εἴκοσι, du moins dans la langue épique, n'avait point le digamma.

251. Πάντες, d'après le rhythme du vers, appartient à ἄριστοι, et non à δυοκαίδεκα. — Ἄριστοι, comme plus haut κεκριμένοι : des premières familles.

252. Καί σφιν ἅμ(α), et avec eux : et avec les douze prétendants ithaciens. — Ἀοιδός. Il s'agit de Phémius. Voyez le vers I, 154.

253. Δαιτροσυνάων, dans l'art de découper les viandes. *Scholies* H : μαγειρικῶν ἔργων. Cette explication n'est point inexacte; car le δαιτρός dressait et servait les plats. Il n'y avait de vraie opération culinaire que la confection des parts. On ne mangeait que des viandes rôties, et les rôtisseurs étaient des serviteurs quelconques, souvent les héros eux-mêmes.

254. Ἀντήσομεν est au subjonctif, pour ἀντήσωμεν.

255. Μή, j'ai peur que. Didyme (*Scholies* H) : ὑπακουστέον τὸ δέδοικα. — Πολύπικρα et αἰνά sont pris adverbialement. *Scholies* V : πολυπίκρως καὶ δεινῶς. — Au lieu de πολύπικρα en un seul mot, quelques-uns lisaient πολὺ πικρά en deux mots; car Didyme (*Scholies* H) se croit obligé de constater la vraie orthographe, en même temps qu'il donne la vraie signification : σύνθετον τὸ πολύπικρα, καὶ ἔστιν ἀντὶ τοῦ πολυπίκρως. La même observation se trouve dans un des manuscrits de Vienne : πολὺ πικρά· γράφε πολύπικρα ἐπίρρημα. — Βίας, comme κείνων βίας, XI, 118 : leurs violences. — Ἀποτίσεαι est au subjonctif, comme ἀντήσομεν du vers précédent.

257. Ὅ κέν τις.... ἀμύνοι, qui puisse venir en aide. Les singuliers τιν(ά) et ὅ.... τις ont la valeur du pluriel, car un seul homme serait bien peu de chose.

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
καὶ φράσαι εἴ κεν νῶϊν Ἀθήνη σὺν Διὶ πατρὶ 260
ἀρκέσει, ἦέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἐσθλώ τοι τούτω γ' ἐπαμύντορε, τοὺς ἀγορεύεις,
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥτε καὶ ἄλλοις
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσιν. 265
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος·
Ἀλλὰ σὺ μὲν νῦν ἔρχευ ἅμ' ἠοῖ φαινομένηφιν 270
οἴκαδε, καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει·
αὐτὰρ ἐμὲ προτὶ ἄστυ συβώτης ὕστερον ἄξει,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι.
Εἰ δέ μ' ἀτιμήσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο, 275
ἤνπερ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσορόων ἀνέχεσθαι.
Ἀλλ' ἤτοι παύεσθαι ἀνωγέμεν ἀφροσυνάων,

259. Τοιγὰρ ἐγὼν.... Vers analogue à celui qu'on a vu, XV, 318.

263. Τούτω, ces deux-là, c'est-à-dire Minerve et Jupiter.

264. Ἐν νεφέεσσι, dans les nuages, c'est-à-dire sur les sommets de l'Olympe. Ces sommets étaient dans la région des nuages. Voyez l'*Iliade*, IV, 166; V, 750-751; XV, 192, etc., et les notes sur ces vers.

264-265. Ἄλλοις ἀνδράσι, comme ἐν ἄλλοις ἀνδράσι. De même θεοῖσιν pour ἐν θεοῖσι. Voyez, XI, 485, la note sur νεκύεσσιν, datif local. Il est clair d'ailleurs que ἄλλοις équivaut à πᾶσι.

267. Κείνω, comme τούτω, au vers 263. *Scholies* B et Q : ὁ Ζεὺς καὶ ἡ Ἀθηνᾶ. — Ἀμφίς, à distance. Eustathe : ἀμφὶς φυλωπίδος, ἀντὶ τοῦ ἰδίᾳ, καὶ χωρὶς, καὶ πόρρω τῆς μάχης.

269. Μένος.... Ἄρηος, la force de Mars : la lutte guerrière.

270. Νῦν est affirmatif; car le lendemain matin n'est pas maintenant. Aristarque (*Scholies* H) : (ἡ διπλῆ, ὅτι) τὸ νῦν ἀντὶ τοῦ δή, ὁμοίως τῷ, ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον (*Iliade*, XI, 362). — Ἔρχευ. Ancienne variante, ἔρχε(ο). La forme éolienne est affectionnée par Homère.

274. Ἀτιμήσουσι a pour sujet μνηστῆρες sous-entendu. — Δέ, eh bien!

276. Ποδῶν, par les pieds.

277. Ἀνέχεσθαι, l'infinitif dans le sens de l'impératif : endure; laisse faire, c'est-à-dire ne cherche point à me défendre par la force.

278. Ἀνωγέμεν, comme l'infinitif ἀνέχεσθαι : invite; essaye de les persuader.

μειλιχίοις ἐπέεσσι παραυδῶν· οἱ δέ τοι οὔτι
πείσονται· δὴ γάρ σφι παρίσταται αἴσιμον ἦμαρ. 280
[Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη,
νεύσω μέν τοι ἐγὼ κεφαλῇ· σὺ δ' ἔπειτα νοήσας
ὅσσα τοι ἐν μεγάροισιν Ἀρήϊα τεύχεα κεῖται
ἐς μυχὸν ὑψηλοῦ θαλάμου καταθεῖναι ἀείρας 285
πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,

279-280. Οἱ δέ τοι οὔτι πείσονται, mais ils ne t'obéiront point : mais ils persisteront dans leurs déportements.

280. Αἴσιμον ἦμαρ, le jour fatal : la mort. Didyme (*Scholies* H) : ἡ ἡμέρα τῆς κακῆς αὐτῶν μοίρας περιμένει αὐτούς.

281-298. Ἄλλο δέ τοι ἐρέω,... On met, et avec raison, ces dix-huit vers entre crochets. Eustathe : ἰστέον δὲ ὅτι ἡ περὶ τῶν ὅπλων ἐνταῦθα παραγγελία τῇ τῆς Τ μάλιστα ῥαψῳδίᾳ ᾠκείωται κατὰ τοὺς παλαιούς· ὧδε γὰρ ὀβελίζονται, φασί, τὰ τοιαῦτα ἔπη μετὰ καὶ ἀστερίσκων, ἐκεῖ δὲ καιριώτατα κεῖνται ὅπου καὶ οἶδεν Ὀδυσσεὺς τὰ ὅπλα. νῦν γάρ, φησίν, ἐν ἀγροῖς ὢν πῶς οἶδεν ὅτι πρόχειρα κεῖνται ὅπλα ἐν τῷ οἴκῳ; — L'expression κατὰ τοὺς παλαιούς peut être prise pour les Alexandrins en général; car Aristarque n'était pas le seul qui eût prononcé l'athétèse. Didyme (*Scholies* H) : ἀθετεῖ Ζηνόδοτος ιη'. Cependant la note d'Eustathe provient uniquement de celle d'Aristarque, dont le résumé se trouve dans les *Scholies* H et Q : νοθεύονται ιη'. πόθεν γὰρ ᾔδει τὰ ὅπλα ἐν τῷ ἀνδρῶνι ἀντικείμενα; οἰκείως δὲ χρήσεται τῷ λόγῳ ὅταν αὐτὰ θεάσηται. Quant aux astérisques dont parle Eustathe, ils devaient être accompagnés d'obels; et Aristarque avait dû n'en mettre qu'aux vers 286-294; car il n'y a que ceux-là qui soient empruntés au chant cité par Eustathe. Voyez la note des vers XIX, 5-13. — Dugas Montbel n'admet point l'athétèse : « Ulysse, dit-il, devait savoir qu'il y avait un arsenal, une chambre destinée aux armes, dans son palais, et il peut donner à son fils des ordres en conséquence; mais il est probable que ces vers ne se trouvaient pas dans quelques manuscrits d'Alexandrie, et alors on aura imaginé cette raison (l'invraisemblance signalée par Zénodote et ses successeurs) pour supposer l'interpolation. » Bothe pense comme Dugas Montbel. Si Ulysse se contentait de dire, *Nous devons avoir des armes en tel endroit, et nous en ferons tel usage*, il n'y aurait rien à objecter. L'invraisemblance est dans la précision des détails, et non dans le fond même des choses.

281. Ἄλλο.... Vers emprunté à l'*Iliade*, I, 197. Il se retrouve plus bas, vers 299, à la suite du passage interpolé. — Ἐνί doit être joint à βάλλεο : ἐμβάλλεο, ἐμβάλλου.

282. Θήσει, sous-entendu μοι : me mettra, c'est-à-dire m'inspirera la chose. — Au lieu de θήσει, Bekker et La Roche écrivent θῇσιν au subjonctif, d'autres θείη à l'optatif.

283. Τοι, surtout suivi de σύ, paraît être pour σοί, et c'est ainsi qu'on l'explique d'ordinaire. Cependant rien n'empêche de prendre νεύσω dans un sens absolu, et de faire de τοι une affirmation. Il va de soi, en effet, que c'est à Télémaque que s'adressera le signe. Ameis : τοί *Versicherungspartikel*. Remarquez aussi que τοι, *tibi*, est exprimé au vers suivant.

285. Καταθεῖναι, l'infinitif dans le sens de l'impératif : dépose.

287. Παρφάσθαι, comme καταθεῖναι, est dans le sens de l'impératif : cajole. — Ποθέοντες, sous-entendu ὅπλα.

288. Κατέθηκ(α), sous-entendu pareillement ὅπλα. — Οὐκέτι.... ἐῴκει est précisé par ἀλλὰ κατῄκισται du vers suivant. C'est parce que la fumée a gâté ces armes, qu'elles ne ressemblent plus à ce qu'elles étaient jadis. *Scholies* H et Q : ὅτι, φησί,

οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή. 290
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ θῆκε Κρονίων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Νῶϊν δ' οἴοισιν δύο φάσγανα καὶ δύο δοῦρε 295
καλλιπέειν καὶ δοιὰ βοάγρια χερσὶν ἑλέσθαι,
ὡς ἂν ἐπιθύσαντες ἑλοίμεθα· τοὺς δέ κ' ἔπειτα
Παλλὰς Ἀθηναίη θέλξει καὶ μητίετα Ζεύς.]
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο, 300
μήτις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος·
μήτ' οὖν Λαέρτης ἴστω τόγε μήτε συβώτης,
μήτε τις οἰκήων, μήτ' αὐτὴ Πηνελόπεια·
ἀλλ' οἶοι, σύ τ' ἐγώ τε, γυναικῶν γνώομεν ἰθύν·

τὰ ὅπλα τῶν μνηστήρων κρύψεις, Τηλέμαχε, καὶ οἱ μνηστῆρες ταῦτα ψηλαφῶσιν, εἰπὲ αὐτοῖς ὅτι ταῦτα κατέκρυψα διὰ τὸ τήκεσθαι ἐκ τοῦ καπνοῦ καὶ τοῦ πυρὸς τῆς οἰκίας.

290. Κατῄκισται, elles ont été endommagées. Eustathe : ἀντὶ τοῦ κακῶς ἔπαθεν, ἐκ μεταφορᾶς τῶν αἰκιζομένων σωμάτων. — Ὅσσον, autant que : partout où. — Πυρὸς.... ἀϋτμή, la vapeur du feu : la fumée.

291. Πρὸς δ(έ), et en outre. — Τόδε, ceci : une chose à dire.

292. Μή πως (de peur que) répond à la proposition sous-entendue *j'ai fait cela*. — Οἰνωθέντες au propre : pour avoir trop bu.

294. Αὐτός, de lui-même : sans que la volonté de l'homme y soit pour rien. Didyme (*Scholies* B, Q et V) : πρόχειρος γὰρ ἀνὴρ πρὸς φόνον παρακειμένου σιδήρου. — L'expression d'Homère a été littéralement reproduite par Valérius Flaccus, *Argonautiques*, V, 541 : *namque virum trahit ipse Chalybs*. On connaît aussi la cynique parodie de Juvénal. Il y a bien d'autres souvenirs antiques du vers XVI, 294, ou plutôt XIX, 13; mais le plus frappant de tous est dans Tacite, *Histoires*, I, LXXX : « Et visa inter temulentos « arma cupidinem sui movere. »

295. Νῶϊν. Il s'agit d'Ulysse et de Télémaque.

296. Καλλιπέειν dans le sens de l'impératif. — Δοιὰ βοάγρια, deux boucliers. Voyez la note du vers XII, 22 de l'*Iliade*. — Ἑλέσθαι, comme ὥστε ἑλέσθαι.

297. Ὡς, afin que. — Ἐπιθύσαντες de ἐπιθύνω : ayant marché en droite ligne, c'est-à-dire dans notre attaque contre l'ennemi. — Ἂν ἑλοίμεθα sous-entendu αὐτά. — Τούς, eux : les prétendants.

298. Θέλξει. Il est certain que la condition du succès, pour Ulysse, c'est que les prétendants ne puissent faire usage de leurs forces, et par conséquent que ses protecteurs divins frappent l'ennemi de stupeur et d'hébêtement.

299. Ἄλλο.... Voyez plus haut le vers 281 et la note sur ce vers.

300. Αἵματος ἡμετέροιο, de notre sang : de la race dont je suis moi-même. — Ancienne variante, ἐμοὶ δέ σε γείνατο μήτηρ.

301. Ὀδυσῆος.... ἔνδον ἐόντος, *de Ulixe reduce*, qu'Ulysse est de retour.

304. Ἰθύν, la direction : les sentiments. *Scholies* B : τῆς διανοίας διάθεσιν. *Scho-*

καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν, 305
ἠμὲν ὅπου τις νῶϊ τίει καὶ δείδιε θυμῷ,
ἠδ' ὅτις οὐκ ἀλέγει, σὲ δ' ἀτιμᾷ τοῖον ἐόντα.
Τὸν δ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
Ὦ πάτερ, ἦτοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀΐω,
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσιν· 310
ἀλλ' οὔτοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι ὀΐω
ἡμῖν ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα.
Δηθὰ γὰρ αὔτως εἴσῃ ἑκάστου πειρητίζων,
ἔργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισιν ἕκηλοι

lies H : ὁρμὴν, σκοπόν. Eustathe : τὴν κατὰ ψυχὴν δηλαδὴ ὁρμήν. — Il y a une note de Didyme (*Scholies* H) que Bekker et d'autres rapportent à ἰθύν : οὕτως αἱ Ἀριστάρχου. Si cette attribution est exacte, il faut supposer que quelques-uns avaient remplacé ἰθύν, dans le texte, par sa glose ὁρμήν. La Roche doute que jamais personne ait pu faire une pareille maladresse. Il croit que la note doit être portée un vers plus bas, où les anciens différaient sur la manière de lire : « Vereor ne Di« dymi annotatio ad lectionem καί κέ τεο « δμώων referenda sit. »

305. Καί κε.... πειρηθεῖμεν, puis faisons l'épreuve. Didyme (*Scholies* V) : διάπειραν ληψώμεθα. — Ancienne variante ou plutôt ancienne glose, πειρηθῶμεν. La vraie forme est indiquée dans l'écriture πειρηθείημεν, donnée par plusieurs manuscrits. Il n'y manque que la contraction poétique. — Τεο, c'est-à-dire του pour τινός : de quelqu'un; d'un chacun. Ce pronom indéfini dépend de δμώων ἀνδρῶν, et non de πειρηθεῖμεν. Bothe : « Male interpres : et *aliquem* famulorum « virorum tentemus. » Hérodien (*Scholies* H et Q) : τὸ τεο ἀόριστον. διὸ καὶ ἐπὶ τοῦ κέ ὁ τόνος. — Il y avait deux variantes anciennes : καί κ' ἐτεοδμώων et καί χ' ὅτεο δμώων. La note οὕτως αἱ Ἀριστάρχου, qui ne fait rien de bon au vers 304, serait parfaitement à sa place ici, devant celle où Didyme (*Scholies* H et Q) enregistre ces faits critiques : ὁ δὲ Ἀσκαλωνίτης ἐτεοδμώων, τῶν ἀγαθῶν θεραπόντων. τινὲς δὲ οὕτως, ὅτεο δμώων, τῶν ὄντων ἡμετέρων δούλων. La conjecture de La Roche a un remarquable caractère de probabilité.

306. Ὅπου, là où. — Ancienne variante, ὅπως. Cette leçon est mauvaise. *Scholies* B et Q : Τὸ ὅπου τοπικόν ἐστιν ἀντὶ τοῦ, καὶ ὅπου τις ἡμᾶς τιμᾷ γνῶμεν, καὶ ὅπου τις οὐ φροντίζει ἡμῶν. πολλάκις γὰρ κατὰ πρόσωπον τῆς Πηνελόπης καλῶς ἡμᾶς λέγει, ἀπούσης δὲ ἀτιμάζει. — Νῶϊ. Ancienne variante, νώ. On peut à la rigueur admettre cette leçon; car la première syllabe de τίει est à volonté chez Homère.

310. Χαλιφροσύναι, les faiblesses : le manque de courage. Didyme (*Scholies* B, Q et V) : ἤτοι ἀφροσύναι, ἢ κεχαλασμέναι καὶ ἔκλυτοι φρένες, ἢ σκαιαὶ καὶ ἀβέλτεροι τῇ διανοίᾳ. Le mot porte son explication en lui-même. Tout faisceau mal lié est sans consistance. L'adjectif χαλίφρων siguifie quelquefois imbécile; mai c'est du caractère que parle ici Télémaque, et non de l'intelligence.

311. Τόδε, cela, c'est-à-dire l'examen dont il est question à la fin du discours d'Ulysse, vers 305-307. — Κέρδος.... ἔσσεσθαι, devoir être un bénéfice : pouvoir nous être bien utile.

313. Δηθά, longtemps. — Αὔτως, comme cela : sans résultat aucun. — Εἴσῃ de εἶμι (aller), tu iras : tu courras. — Bekker propose de lire εἶσθα, à cause du prétendu digamma de ἑκάστου. Mais il ne l'a point mis dans son texte, et il donne εἴσῃ ἑκάστου comme tout le monde.

314. Ἔργα, les travaux, c'est-à-dire les champs cultivés, la campagne habitée. Voyez plus bas, vers 318-319.

χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ. 315
Ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα,
αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἳ νηλείτιδές εἰσιν·
ἀνδρῶν δ' οὐκ ἂν ἔγωγε κατὰ σταθμοὺς ἐθέλοιμι
ἡμέας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι οἶσθα Διὸς τέρας αἰγιόχοιο. 320
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
ἡ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς εὐεργής,
ἣ φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους.
Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,

315. Χρήματα.... Voyez le vers XIV, 92 et les notes sur ce vers. Mais χρήματα, ici, est pour ἡμέτερα κτήματα.

316. Γυναῖκας. Il s'agit des servantes du palais. — Δεδάασθαι, apprendre à connaître : soumettre à une enquête. *Scholies* Q : μανθάνειν τὰ τούτων ἤθη. *Scholies* H : ἀντὶ τοῦ καταμανθάνειν. ἀνυπόπτως γὰρ τὰ τούτων ἤθη μαθήσῃ κατὰ τὴν οἰκίαν.

317. Καὶ αἳ νηλείτιδές εἰσι, et celles qui sont innocentes. — La vulgate νηλιτεῖς est inadmissible, parce que la syllabe λι est toujours brève dans ἀλιταίνω et dans tous les mots qui ont quelque analogie avec ce verbe. — Quelques-uns écrivaient νηλειτεῖς, d'autres νηλητεῖς. On ignore quelle était précisément l'orthographe d'Aristarque; mais on sait qu'Aristarque et ses disciples ne s'accordaient pas sur le sens du mot. Suivant Aristarque, Télémaque disait deux fois la même chose ; suivant ses disciples, il y a antithèse entre αἵ τε et καί, et non pas enchérissement ou insistance dans le second membre de phrase. Au fond, l'idée est la même des deux façons, puisque reconnaître les coupables, c'est distinguer d'eux les innocents. Mais la forme du mot νηλείτιδες, quelle que soit la terminaison qu'on lui donne, condamne l'interprétation d'Aristarque; car νη ne peut être qu'une négation. *Scholies* B : ἀναμάρτητοι, ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀλιταίνω τὸ ἁμαρτάνω. Le vers est répété dans l'*Odyssée*, XIX, 498. C'est là que les *Scholies* nous fournissent le plus de renseignements. B : παρὰ τὸ ἀλιτεῖν. Ἀρίσταρχος δὲ τοὺς πολυαμαρτήτους, τοῦ νη ἐπιτατικοῦ ὄντος. ἄμεινον δὲ τοὺς ἀναμαρτήτους. V : λίαν ἁμαρτωλαὶ ἄλλοι ἀπέδοσαν, τοῦ νη ἐπιτατικοῦ ὄντος, ὡς ἐν τῷ νήχυτος ὄρπηξ (Nicandre, *Thériaques*, vers 33). ἄμεινον δὲ τὰς ἀναμαρτήτους, συγκειμένης τῆς λέξεως ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀλιταίνειν, ἵν' ᾖ, ὅσαι ἁμαρτάνουσαι καὶ ὅσαι οὔ. — Ces deux notes proviennent de la même source; et l'on pourrait, je crois, en introduisant dans la seconde le nom d'Aristarque, y voir une citation textuelle de Didyme. — L'explication d'Aristarque est mentionnée aussi par Apollonius : Ἀρίσταρχος, ἁμαρτωλοί.

318. Σταθμούς. Il s'agit spécialement de la maison de Laërte et de celle d'Eumée. Cependant quelques anciens l'entendaient d'une façon générale. *Scholies* H et V : νῦν τοὺς οἴκους.

319. Ὕστερα se rapporte à ταῦτα, e n'est point adverbe; mais le sens reste au fond le même que s'il y avait ὕστερον. *Scholies* B : μετὰ τὴν μνηστηροκτονίαν· ἤτοι ἐὰν γινώσκῃς τι ἀπὸ χρησμοῦ.

320. Εἰ ἐτεόν γέ τι.... Télémaque se souvient des paroles d'Ulysse, vers 260-261, ou encore de ce qu'on a lu, 297-298. Eustathe : ἐξ οὗ δηλαδὴ ὁρμώμενος ἔφης ἀμύντορα τὸν Δία ἡμῖν ἔσεσθαι.

321. Ὣς οἱ μὲν.... Répétition textuelle du vers VIII, 333.

322. Ἡ (*illa*) est expliqué par νηῦς εὐεργής.

323. Φέρε a le sens du plus-que-parfait; car Télémaque n'était plus sur le navire.

324-325. Οἱ δ' ὅτε.... Vers empruntés à l'*Iliade*, I, 432 et 485.

νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν, 325
τεύχεα δέ σφ' ἀπένειχαν ὑπέρθυμοι θεράποντες·
αὐτίκα δ' ἐς Κλυτίοιο φέρον περικαλλέα δῶρα.
Αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος,
ἀγγελίην ἐρέοντα περίφρονι Πηνελοπείῃ,
57. Τῇ δ' ἄπτερος ἔπλετο μῦθος, et la parole (de Télémaque) fut non ailée pour elle : et ce que Télémaque avait dit ne s'échappa point de l'esprit de Pénélope; et Pénélope se pénétra des paroles de son fils, et s'y conforma exactement. — Les anciens ont beaucoup discuté sur le sens de cette phrase. Didyme (*Scholies* Q et V) donne plusieurs interprétations; mais celle qu'il semble préférer est conforme à ce qu'on vient de lire : οὐκ ἀπέπτη ὁ λόγος, ἀλλ' ἐπέμεινε μὴ ἔχων πτερόν. C'est celle qu'a adoptée Ameis : « Ihr war *ungeflü-* « *gelt* das Wort des Telemachos, das ist sie « bewahrte es fest und befolgte es streng. » — La plupart des modernes entendent, par τῇ δ' ἄπτερος ἔπλετο μῦθος, que Pénélope garda le silence. Homère-Didot : « Huic vero non evolans erat sermo, id « est tacuit. » Fæsi : *sie nichts erwiderte.* Cette explication est inconnue des anciens; car aucun d'eux n'a supposé que μῦθος se rapportât à Pénélope, et non à Télémaque. Elle est une invention de Coray; et cette invention a été suggérée par l'épithète

Ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ. 60
Τηλέμαχος δ' ἄρ' ἔπειτα διὲκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷγε δύω κύνες ἀργοὶ ἕποντο.
Θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
Ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο, 65
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον.
Αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
ἀλλ' ἵνα Μέντωρ ἧστο καὶ Ἄντιφος ἠδ' Ἁλιθέρσης,
οἵτε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα. 70
Τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν,
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.

πτερόεντα, si souvent jointe à ἔπεα par Homère. Coray paraphrase comme il suit : οὐδένα λόγον ἀφῆκεν ἐκπτῆναι τοῦ στόματος. Cela est ingénieux peut-être; mais il est à peu près impossible que μῦθος se rapporte à Pénélope.

58-60. Ἡ δ' ὑδρηναμένη.... Répétition, *mutatis mutandis*, des vers 48 et 50-51. Voyez les notes sur le premier et le dernier de ces trois vers.

62-64. Ἔγχος.... Voyez, II, 10-13, un passage analogue et les notes sur ce passage.

62. Ἔγχος ἔχων. Télémaque a repris, avant de sortir du palais, la lance qu'il avait laissée dans la grande salle. — Δύω κύνες ἀργοί, *vulgo* κύνες πόδας ἀργοί. Voyez la note du vers II, 11.

64. Πάντες λαοί. Didyme (*Scholies* H) remarque qu'il s'agit des gens de la ville, et non des prétendants : οἱ κατὰ τὴν πόλιν λαοί, οὐχ οἱ μνηστῆρες.

66. Ἔσθλ' ἀγορεύοντες. Ils comblent le jeune homme de témoignages d'affection. Leurs discours ressemblent à celui par lequel Eurymaque, XVI, 435-447, avait tâché de donner le change à Pénélope.

68. Ἵνα adverbe : là où. — Μέντωρ. Voyez les vers II, 225-227. — Ἄντιφος. Cet Antiphus n'est nommé nulle part qu'ici. — Ἁλιθέρσης. Voyez les vers II, 157-158.

69. Οἵτε οἱ.... Répétition textuelle du vers II, 254.

70. Ἕκαστα, toutes choses en détail : les aventures de son voyage. — Les anciens admiraient comme un trait de bon goût la brièveté de l'indication contenue dans la phrase. C'est ce qu'on voit par cette note d'Eustathe, note dont le premier mot révèle l'origine : ὅτι καὶ ἐν τῷ τόπῳ τούτῳ δυνάμενος ὁ ποιητὴς πολυλογῆσαι, παραιτεῖται αὐτὸ διὰ τὸ μὴ καίριον. ὡς μὲν γὰρ οἱ φίλοι ἐξερέεινον ἕκαστα λέγει· τί δὲ πρὸς αὐτοὺς ὁ Τηλέμαχος ἔφη, οὐ λέγει. C'est une citation textuelle d'Aristarque descendue de scholiaste en scholiaste. Il n'y manque que le signe critique, ou que l'équivalent de ce signe : ἡ διπλῆ.

71. Ἐγγύθεν. Ancienne variante, ἀντίον.

72. Ξεῖνον, l'étranger : Théoclymène. — Ἀγορήνδε, à la place publique. Voyez plus haut, vers 52, la note sur ἀγορήνδ(ε).

73. Ἑκὰς τράπετ(ο), se détourna loin : se tint éloigné. Didyme (*Scholies* V) : ἐτράπη. — Ἀλλὰ παρέστη, sous-entendu αὐτῷ : mais il se tint près de lui, c'est-à-dire mais bien au contraire il s'approcha

Τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπεν·
Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας, 75
ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Πείραι', οὐ γάρ τ' ἴδμεν ὅπως ἔσται τάδε ἔργα.
Εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισιν
λάθρῃ κτείναντες πατρώϊα πάντα δάσωνται, 80
αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ Κῆρα φυτεύσω,
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.
Ὣς εἰπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας, 85
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
ἐς δ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο.
Τοὺς δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας·
ἔκ ῥ' ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι καθῖζον. 90
Χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
Σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων. 95
Μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο

tout près de lui. Bothe : « Fortius affirmat, « negato contrario. »

74. Τὸν καὶ.... Répétition du vers XVI, 460, sauf le changement du sujet.

75. Ὄτρυνον, dépêche : envoie le plus tôt possible. Didyme (*Scholies* V) : ἔπειξον. — Γυναῖκας, des femmes, c'est-à-dire des servantes.

76. Δῶρ(α). Ces objets précieux avaient été portés, XVI, 327, chez Clytius le père de Piréus.

78. Τάδε ἔργα, ces choses-ci : mes affaires avec les prétendants.

81. Βούλομ(αι), sous-entendu μᾶλλον : j'aime mieux. Voyez le vers III, 232. — Αὐτὸν.... σε.... ἐπαυρέμεν, sous-entendu τούτων : *ipsum te iis frui*, que ce soit toi-même qui en jouisses. — Τῶνδε dans un sens méprisant : de ces misérables. Il montre les prétendants.

83. Φέρειν, l'infinitif dans le sens de l'impératif : porte ; fais porter. — Χαίρων en regard de χαίροντι. On a vu, V, 155, παρ' οὐκ ἐθέλων ἐθελούσῃ. Les poëtes dramatiques surtout aiment les rapprochements de ce genre.

86. Κατέθεντο. Il s'agit de Télémaque et de Théoclymène.

87-89. Ἐς δ' ἀσαμίνθους.... Voyez les vers IV, 48-50 et les notes sur ce passage.

91-95. Χέρνιβα.... Voyez les vers 136-140 et les notes sur ce passage.

κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια· 100
Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον· οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα, 105
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
Ὠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν 110
ἐνδυκέως ἐφίλει, ὡσεί τε πατὴρ ἑὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισιν.
Αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκεν,
ζωοῦ οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι· 115

98-99. Οἱ.... Voyez les vers I, 149-150 et les notes sur ce passage.

102. Τέτυκται équivaut à ἐστί : est.

104. Ἀτρείδῃσιν ἐς Ἴλιον. Bekker, Ἀτρδείῃς ἐς Ϝίλιον. Cette correction serait indispensable, si Homère disait Ϝίλιος, et non Ἴλιος. Mais rien ne prouve qu'Homère disait Ϝίλιος. — Μοι dépend de εἰπέμεν : me dire; me raconter.

106. Νόστον, exprimé avec εἰπέμεν, est sous-entendu avec ἄκουσας.

109. Ὠχόμεθ(α), nous étions partis (mes compagnons et moi).

110. Δέ με κεῖνος. Ameis et d'autres, δέ μ' ἐκεῖνος.

111. Υἱόν. Ancienne variante, υἷα. — Didyme (*Scholies* H) : οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος, ἐνδυκέως ἐφίλει ὡσεί τε πατὴρ ἑὸν παῖδα. La note de Didyme est altérée. Nous ignorons si Aristarque écrivait υἱόν ou υἷα, et nous ignorons bien plus encore en quoi son texte différait de celui de Zénodote. La Roche : « Nec quid « Aristarchus, nec quid Zenodotus scrip« serit, perspicuum est. Dindorfius Zeno« dotum ἐνδυκέως, ὡσεί τε πατὴρ ὃν « παῖδ', ἐφίλησε scripsisse sibi persuasum « habet. » C'est par induction que Dindorf est arrivé à ce résultat plus ou moins plausible, et en s'appuyant sur deux passages d'Homère, *Iliade*, IX, 481-482 et *Odyssée*, XVI, 17. Au reste, la différence entre υἱόν et υἷα est insignifiante; et il nous importe fort peu que Zénodote ait arrangé le vers d'une façon ou de toute autre, puisque ce n'était toujours qu'un arrangement, qu'une correction arbitraire.

112. Χρόνιον, l'adjectif pour l'adverbe : après un long temps. Apollonius : μετὰ πολὺν χρόνον. — Νέον, adverbe : naguère. — Ἄλλοθεν, d'ailleurs : des pays étrangers. Voyez le vers XVI, 26 et les notes sur ce vers. — Ὣς ἐμὲ κεῖνος. Bekker et Ameis, ὣς ἔμ' ἐκεῖνος.

114-115. Αὐτὰρ.... Construisez : αὐτὰρ ἔφασκεν οὔποτε ἀκοῦσαί τευ (c'est-à-dire

ἀλλά μ' ἐς Ἀτρείδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
Ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
Εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος, 120
ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα.
Καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
Ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες. 125
Ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς,
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνὴν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν· 130
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
Αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
τοῖος ἐὼν οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστὰς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοὶ, 135
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
Ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε
ἄλλα παρὲξ εἴποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτὴς, 140
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
Φῆ μιν ὅγ' ἐν νήσῳ ἰδέειν κρατέρ' ἄλγε' ἔχοντα,

ἀπό τινος) ἐπιχθονίων Ὀδυσσῆος (c'est-à-dire περὶ Ὀδυσσέως) ταλασίφρονος.

117. Ἵπποισι.... καὶ ἅρμασι. Voyez, IV, 8, la note sur cette expression dédoublée.

118. Ἔνθ' ἴδον Ἀργείην Ἑλένην. Bekker remanie le texte pour y mettre son digamma : ἔνθ' Ἑλένην Ϝίδον Ἀργείην.

118-119. Πολλὰ.... μόγησαν. Ancienne variante, πολλοὶ.... δάμησαν.

119. Ἀργεῖοι.... Répétition textuelle du vers XII, 190.

121. Ὅττευ χρηΐζων. Voyez la question de Ménélas, IV, 312-313.

124-141. Ὢ πόποι,... Télémaque répète textuellement les paroles de Ménélas. Voyez les vers IV, 333-350 et les notes sur ces dix-huit vers.

142. Μιν, lui : Ulysse. — Ὅγ(ε), celui-ci : Protée. Voyez le vers V, 555.

νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
Οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι, 145
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
Ὣς ἔφατ' Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.
Ταῦτα τελευτήσας νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
Ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν. 150
Τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ὅγ' οὐ σάφα οἶδεν, ἐμεῖο δὲ σύνθεο μῦθον·
ἀτρεκέως γάρ σοι μαντεύσομαι οὐδ' ἐπικεύσω.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα 155
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ὡς ἤτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ,
ἥμενος ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
ἔστιν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει·

143-146. Νύμφης.... Répétition textuelle des vers IV, 557-560. Voyez la note sur l'avant-dernier vers de ce passage.

148-149. Ταῦτα.... Voyez les vers IV, 585-586 et la note sur le premier de ces deux vers.

150-165. Ὣς φάτο· τῇ.... Quelques anciens retranchaient ces seize vers. *Scholies* H : ἀθετοῦνται ις' στίχοι.... Mais ce n'est que dans les éditions communes qu'ils étaient tous obélisés. Il n'y avait d'obels, dans les éditions les plus soignées, qu'aux vers 160-161. *Scholies* Q : ἐν τοῖς χαριεστέροις οὗτοι μόνοι οἱ β' ἀθετοῦνται, ἐπεὶ καὶ πρὶν εἰσελθεῖν ἐν τῇ νηῒ τὸν οἰωνὸν εἶδε, καὶ ἐγεγώνευν ἀχαίρως ἐστίν. ἐν δὲ τοῖς κοινοτέροις, ἀπὸ τοῦ ὣς φάτο ἕως τοῦ ἐξ ἐμεῦ. Il n'y a aucune raison sérieuse, ni même spécieuse, de supprimer le discours de Théoclymène et la réponse de Pénélope. Celles qu'on alléguait contre les deux vers 160-161 sont elles-mêmes sans valeur. — Dugas Montbel disserte longuement sur ce passage. Mais sa dissertation porte à faux; car il s'est trompé sur le sens de la deuxième note d'athétèse. Voici en effet ses paroles : « Il paraît que, dans plusieurs éditions, et même les *meilleures*, ἐν χαριεστέροις (*sic*), aussitôt après le discours de Télémaque, on passait aux événements qui concernent les prétendants. » Toutes les conclusions que Dugas Montbel tire de la prétendue interpolation sont donc de pures chimères; et les diascévastes dont il croit avoir constaté le travail n'ont absolument rien à voir ici.

150. Ὣς φάτο· τῇ.... Ce vers est emprunté à l'*Iliade*, où il est souvent répété. Voyez II, 142; III, 395; IV, 208, etc.

151. Τοῖσι.... On a vu, II, 157, un vers analogue.

153. Ἤτοι affirmatif : pour sûr. — Ὅγ(ε) se rapporte ici à Ménélas. Mais c'est par erreur qu'Ameis ajoute : *wie* 142. Au vers 142, ὅγ(ε) se rapporte à Protée, et ne peut se rapporter qu'à lui; car c'est lui, et non Ménélas, qui a vu Ulysse. Voyez le vers V, 555.

155-156. Ἴστω.... Voyez les vers XIV, 158-159 et les notes sur ces deux vers.

158. Ἤτοι, pour sûr. Voyez plus haut, vers 153.

159. Ἔστιν, est : se trouve.

οἷον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς 160
ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι. 165
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
Ἀλλ' ὅτε δὴ δείπνηστος ἔην, καὶ ἐπήλυθε μῆλα 170

160. Οἷον.... οἰωνόν, vu le présage que.

161. Ἐφρασάμην, j'ai observé. — Ἐγεγώνευν. Ancienne variante, ἐγεγώνεον, trissyllabe par synizèse. — La forme éolienne semble préférable; car elle est fréquente chez Homère. Au reste, c'est identiquement le même mot. Ce mot n'est point dit au propre. Théoclymène n'a point crié. Il a même emmené Télémaque à part, pour lui révéler l'oracle. Voyez les vers XV, 529-530. Aussi Didyme (*Scholies* V) prend-il ici le verbe γεγωνεῖν dans le sens de dire, de révéler : ἐσήμαινον, ἔλεγον. — La traduction d'Ameis, *rief laut zu*, ne s'accorde point avec ce qu'avait réellement fait Théoclymène. Je remarque de plus qu'il faut séparer les deux idées contenues dans le vers 161; car, si Théoclymène était sur le navire au passage de l'épervier dépouillant la colombe, ce n'est point sur le navire qu'il a révélé à Télémaque le sens de cette apparition. — Il suffit de mettre une virgule après ἐφρασάμην, pour réduire à néant l'argumentation de Bothe en faveur de l'athétèse des vers 160-161 : « Certe « nihil ejusmodi neque tum inter navi- « gandum observavit, neque Telemacho « dixit, vates Argivus. Quare et his unci- « nos impegi. » — On se rappelle que, dans la note d'athétèse sur ces deux vers, la raison principale alléguée contre eux est exprimée par ces mots : πρὶν εἰσελθεῖν ἐν τῇ νηῒ τὸν οἰωνὸν εἶδε. Cette phrase est impossible; et, quand même elle serait régulière, elle exprimerait une chose absolument fausse. On la regarde comme incomplète; et Lehrs propose de la restituer comme il suit : πρὶν εἰσελθεῖν εἰς ἄστυ, οὐκ ἐν τῇ νηῒ, τὸν οἰωνὸν εἶδε. Même ainsi complétée, ce qu'elle affirme n'est pas exact; car Homère n'a point dit, avant de raconter l'apparition de l'oiseau de proie, que Théoclymène fût descendu sur le rivage. On doit donc supposer qu'il n'y descend qu'après l'apparition, pour emmener Télémaque à part et lui parler seul à seul. — Quant à la deuxième raison d'athétèse, ἐγεγώνευν ἀκαίρως ἐστίν, c'est, comme on vient de le voir, une chicane de grammairien. Le mot ἐγεγώνευν est une hyperbole, et voilà tout. C'est à nous de réduire l'expression à sa juste mesure.

163-165. Αἲ γάρ.... Voyez les vers XV, 536-538 et les notes sur ce passage.

166. Ὣς οἱ μέν.... Répétition du vers VIII, 333.

167-169. Μνηστῆρες.... Voyez les vers IV, 625-627 et les notes sur ce passage.

170. Δείπνηστος désigne le temps du principal repas. C'est comme si le poëte disait : le milieu du jour. Le jour se mesurait par les faits habituels de la vie. Voyez le vers IX, 58 et la note sur ce vers. — Le mot δειπνηστός, mais oxyton cette fois, était aussi employé comme synonyme de δεῖπνον. Didyme (*Scholies* V) : βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα, ὀξυτόνως δὲ τὸ δεῖπνον. Eustathe dit la même chose, mais en d'autres termes. — Anciennes variantes, δειπνιστός, δειπνητός et δειπνηστύς. Mais ces formes ne se trouvent que chez les lexicographes. — Μῆλα désigne le petit bétail, les brebis et les chèvres.

πάντοθεν ἐξ ἀγρῶν (οἱ δ' ἤγαγον οἳ τὸ πάρος περ),
καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
ἥνδανε κηρύκων, καί σφιν παρεγίγνετο δαιτί·
Κοῦροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα· 175
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔϐαν πείθοντό τε μύθῳ.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας, 180
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
δαῖτ' ἐντυνόμενοι. Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε
ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορϐός.
Τοῖσι δὲ μύθων ἦρχε συϐώτης, ὄρχαμος ἀνδρῶν·
Ξεῖν', ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις 185

171. Οἳ τὸ πάρος περ, sous-entendu ἦγον : qui les conduisaient auparavant, c'est-à-dire qui étaient leurs bergers ordinaires.

172. Μέδων. Voyez le vers IV, 677 et la note sur ce vers. *Scholies* Q : εὐνούστατος μὲν ὁ Μέδων τῇ Ὀδυσσέως οἰκίᾳ, δι' ἐπιείκειαν δὲ ἤθους καὶ οἱ μνηστῆρες αὐτὸν ἐτίμων καὶ ὁμοτράπεζον εἶχον. — Ὅς est dans le sens de οὗτος.

173. Παρεγίγνετο δαιτί est dit d'une façon générale ; car on ne mange pas en ce moment. Médon était chaque jour le commensal des prétendants.

174. Κοῦροι,... On a vu, VIII, 430, un vers analogue.

176. Οὐ μὲν γάρ τι χέρειον équivaut, d'après la force du tour négatif, à κάλλιστον γάρ ἐστι : car c'est chose excellente. *Scholies* B : ἤτοι καλόν ἐστιν· ὡς τὸ οὐχ ἥκιστα ἀντὶ τοῦ μᾶλλον (lisez ἀντὶ τοῦ μάλα ou μάλιστα). — Ἐν ὥρῃ, à temps : en temps opportun. — Δεῖπνον dans le sens général de repas ; car la maxime n'est pas moins vraie pour le déjeûner et le souper que pour le dîner. Voyez, IV, 61, la note sur δείπνου.

177. Πείθοντό τε μύθῳ. Ancienne variante, ποτὶ οἶκον ἕκαστος.

178-179. Αὐτὰρ.... Répétition textuelle des vers 85-86.

180. Οἱ δ(έ). Il y a répétition du sujet. C'est par erreur que Bothe croit qu'il s'agit d'autres personnages que les prétendants eux-mêmes : *illi vero, Medon et famuli procorum*. Ces pléonasmes ne sont pas rare chez Homère. Voyez, par exemple, le vers XIII, 219. J'ai déjà cité ailleurs le *nunc ille sinistra* de Virgile (*Énéide*, V, 457), qui est tout à fait analogue.

181. Ἵρευον.... Ce vers était regardé, par Aristophane de Byzance et d'autres, comme une interpolation. Didyme (*Scholies* H) : ἠθετει καὶ Ἀριστοφάνης. Mais on ignore quels étaient les motifs de l'athétèse. — Quelques anciens écrivaient ἴρευον avec esprit doux, à cause de la syncope. *Scholies* B : ὡς συγκοπτόμενον ψιλοῦται. Cependant ἱρός a toujours l'esprit rude ; et le changement produit par la syncope est plutôt du doux en rude que du rude en doux. Voyez, par exemple, ἠέλιος ἥλιος, ἔεδνα ἕδνα.

182. Τοί (eux) est expliqué par les deux sujets, Ὀδυσεύς et ὑφορϐός. Le poëte reprend son récit à l'endroit où il l'a laissé après le discours d'Ulysse, vers 17-25.

184. Τοῖσι, entre eux deux. Voyez la note du vers V, 202.

185. Ἔπειτα, donc. — Ἰέναι. Ancienne variante, ἴμεναι.

σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός· ἦ σ' ἂν ἔγωγε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί·
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα 190
ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
Δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστὶν, 195
σκηρίπτεσθ', ἐπειή φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.

187. Ῥυτῆρα, comme gardien. — Λιπέσθαι. Ancienne variante, γενέσθαι, qu'on lit plus bas, vers 233. Mais les deux exemples ne sont point identiques.

188. Τόν, lui : Télémaque.

189. Δέ est explicatif, et il équivaut à γάρ. — Ὀμοκλαί, les reproches.

190. Ἴομεν au subjonctif : allons. — Μέμβλωκε μάλιστα, est passé pour la plus grande partie. *Scholies* B et Q : παρελήλυθε τὸ πλεῖστον τῆς ἡμέρας. Eustathe : τὸ δὲ μέμβλωκεν ἀντὶ τοῦ μεμόληκε, παρῆλθεν.

191. Τάχα, bientôt. — Τοι, pour toi. Ποτὶ ἕσπερα, vers le soir : quand le jour aura baissé. Bothe : « ἕσπερα, ἑσπέρια, « quemadmodum ἔγχωρος et ἐγχώριος, « promiscue dicuntur. Perperam Eusta- « thius : τὸ ἕσπερα συγκέκοπται ἐκ τοῦ « ἑσπέρια, ceterum recte interpretatus « ἐλλειπτικῶς· ἕσπερα μέρη. ἢ καταστή- « ματα, ἢ τοιοῦτόν τι. » — Ῥίγιον ἔσται, il sera plus froid : le temps serait plus dur. Didyme (*Scholies* V) : πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστιν. — On se rappelle que nous sommes dans l'arrière-saison, et qu'Ulysse a des vêtements troués. Voyez plus haut les vers 23-25 et les notes sur ce passage. Eustathe : χειμέριος δηλοῦται ἢ ἐγγὺς χειμῶνος καιρός. En effet, dans la chaude saison, c'est le matin ou le soir qu'il fait bon voyager.

193. Γιγνώσκω.... Voyez le vers XVI, 136 et la note sur ce vers.

194. Ἔπειτα, ensuite, c'est-à-dire quand nous marcherons. — Διαμπερές, de part en part : jusqu'au bout du voyage.

196. Σκηρίπτεσθ(αι), comme ὥστε σκηρίπτεσθαι : pour m'appuyer ; pour assurer mes pas. — Φατ(έ), vous dites. *Vous*, c'est-à-dire toi et les porchers. — Ἀρισφαλέ(α), très-propre à faire tomber, c'est-à-dire plein de pierres roulantes. La traduction *valde lubricam* n'est point exacte, si l'on prend l'adjectif *lubricus* au propre ; car il s'agit d'un sentier raboteux. Didyme (*Scholies* V) : τραχὺν, σκληρὸν, σφῆλαι πάνυ δυνάμενον, δύσβατον, ὀλισθηρὸν ὥστε κινδυνεύειν καταπεσεῖν. — Οὐδόν, le seuil, c'est-à-dire le sol sur lequel on est debout, le terrain sur lequel on marche, et par conséquent la route. Ameis : οὐδός *ist* οὖδας ὁδοῦ. Les anciens regardaient même ici le mot οὐδόν comme identique à ὁδόν. Didyme (*Scholies* V) : οὐδὸν δὲ νῦν ἀντὶ τοῦ τὴν ὁδόν. *Scholies* B : τὸ οὐδόν ἀντὶ τοῦ τὴν ὁδόν. νῦν δὲ μόνως μετὰ τοῦ υ. Cette note est une citation d'Aristarque ; et j'aurais pu mettre en tête, ἡ διπλῆ, ὅτι. Ce n'est pas là une conjecture, mais un fait. La formule d'Eustathe, quand il dit les mêmes choses, ne laisse aucun doute sur ce point : ὅρα τὸ οὐδὸν ἀντὶ τοῦ ὁδὸν, ἐπενθέσει Αἰολικῇ τοῦ υ. ἅπαξ δὲ, φασὶν, ἐνταῦθα εἶπε τὴν λέξιν, καὶ δέδωκεν ἀφορμὴν ἐτυμολογίας τῷ οὐδῷ (I, 104). καὶ ἐκεῖνος γὰρ ὁδὸς εἰς οἶκόν ἐστιν. L'expression φασίν, dont se sert Eustathe, équivaut à φησίν Ἀρίσταρχος. — L'identification de ὁδός et οὐδός semble un peu arbitraire ; mais elle est exacte au fond. Curtius, *Racine* ἐδ, aller : « ὁδός « Weg, ὁδίτης Wanderer, ὁδεύω wandle, « ὀδός (οὐδός) Schwelle, οὖδας, ἔδαφος

Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκεν.
Τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες 200
ῥύατ' ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κατὰ παιπαλόεσσαν
ἄστεος ἐγγὺς ἔσαν, καὶ ἐπὶ κρήνην ἀφίκοντο 205
τυκτήν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
τὴν ποίησ' Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ·

« Boden. Lat. *solum*, *solea*. » Dans l'écriture archaïque, ΟΔΟΣ se lisait indifféremment ὁδός et οὐδός, et les poëtes attiques disent ὀδός avec esprit doux pour οὐδός. Sophocle, *Œdipe à Colone*, vers 57 : χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός. — Eustathe cite une variante ancienne : Ἡρακλείδης δ' ἐν οἷς περὶ δυσκλίτων ῥημάτων γράφει, ἀρισφαλὲς ἔμμεναι οὐδάς φησι γράφεσθαι, οὐκ ἄλλως ὑπό τινων. Mais il est probable que cette leçon n'était qu'une correction arbitraire. La Roche pense qu'Héraclide la rejetait formellement, et qu'il avait dit, non pas οὐκ ἄλλως, mais οὐ καλῶς.

198. Πυκνά.... Voyez le vers XIII, 438 et les notes sur ce vers.

199. Θυμαρές, *vulgo* θυμῆρες, même sens. — La véritable orthographe est constatée par Hérodien, à propos de θυμαρέα, *Iliade*, IX, 336 : καὶ οὕτως ἀνέγνωμεν, Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρές, διὰ τοῦ α. οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης.

202. Πτωχῷ.... Répétition textuelle du vers XVI, 273.

203. Σκηπτόμενον, s'étayant, c'est-à-dire marchant à l'aide d'un bâton. Ceci s'applique au vieillard ; le reste du vers concerne le mendiant. — Τά, *ista*, dont j'ai décrit la misère.

206. Τυκτήν, faite de main d'homme, c'est-à-dire ayant un bassin de pierre. C'est à cette construction que se rapporte l'épithète. Τυκτήν indique qu'on n'avait pas laissé la source dans son état naturel, mais non pas que cette source fût artificielle. — Grâce à l'épithète, on voit aussitôt qu'il ne s'agit point de la fontaine Aréthuse, nommée au vers XIII, 408. *Scholies* B : οὐ λέγει δὲ τὴν Ἀρέθουσαν. — Il faut croire que le bassin était un ouvrage considérable, puisque trois rois y avaient mis la main. Le poëte, qui n'est gêné par rien, suppose probablement quelque monumental édifice. Eustathe : ὅτι κρήνη τις ἦν ἐν Ἰθάκῃ τυκτή, τουτέστι χειροποίητος.... ἀξία δὲ λόγου αὕτη, τρεῖς ἔχουσα ἐπισκευαστάς.

207. Ποίησ(ε) doit s'entendre non-seulement de la construction du bassin, mais de la plantation du bocage et de l'érection de l'autel. — Ἴθακος καὶ Νήριτος. Voici ce que Didyme (*Scholies* V) conte, d'après Acusilaüs, sur ces deux personnages, qui passaient pour avoir laissé leurs noms l'un à l'île et à la ville d'Ithaque, l'autre à la principale montagne de l'île : Πτερελάου παῖδες Ἴθακος καὶ Νήριτος, ἀπὸ Διὸς ἔχοντες τὸ γένος, ᾤκουν τὴν Κεφαλληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη παραγίνονται εἰς τὴν Ἰθάκην. καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμὸν διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι κατοικήσαντες δεῦρο τὴν Ἰθάκην ἔκτισαν. καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ. — Cette histoire n'a pas été difficile à inventer. C'est évidemment un ouvrage des rhapsodes ; car Ithacus et Néritus ne sont pour Homère que des noms, et des noms qu'il a peut-être imaginés lui-

ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο 210
Νυμφάων, ὅθι πάντες ἐπιρρέζεσκον ὁδῖται·
ἔνθα σφέας ἐκίχαν' υἱὸς Δολίοιο Μελανθεύς,
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισιν,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
Τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν, 215
ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·

même d'après ceux d'Ithaque et de la montagne d'Ithaque. — Πολύκτωρ. On a supposé que c'était un frère d'Ithacus et de Néritus, et qu'il avait laissé comme eux un souvenir local dans Ithaque. *Scholies* B et Q : οὗτοι Πτερελάου παῖδες καὶ Ἀμφιμέδης. καὶ ἀπὸ μὲν Ἰθάκου Ἰθάκη, ἀπὸ δὲ Νηρίτου Νήριτον ὄρος, ἀπὸ δὲ Πολύκτορος Πολυκτόριον τόπος ἐν τῇ Ἰθάκῃ. Il est probable que le Polyctorion mentionné dans cette note n'a jamais existé que là. On a inventé ce lieu pour faire concorder l'histoire de Polyctor avec celle de ses prétendus frères. Ici ce n'est pas le nom de lieu qui a suggéré au poëte le nom d'homme ; c'est le nom d'homme imaginé par le poëte qui a suggéré aux rhapsodes le nom de lieu.

208. Ὑδατοτρεφέων, nourris par l'eau. Ancienne variante, ὑδατοτροφέων, qui a le même sens.

209. Πάντοσε κυκλοτερές signifie que la fontaine était au milieu d'une place ronde, puisque le bocage formait cercle tout alentour. — Eustathe nous a conservé quelques-unes des observations antiques sur l'expression d'Homère : τὸ δὲ πάντοσε κυκλοτερὲς πρὸς διαστολὴν ἡμικυκλίου εἴρηται. σημείωσαι δ' ἐνταῦθα εἰς τὸ πάντοσε κυκλοτερὲς, ὅπως τίμιον ἐδόκει χρῆμα τοῖς παλαιοῖς ὁ κύκλος διὰ τὸ κατὰ κόσμον σφαιροειδές. οὗ φαντασίαν ἐναργῆ, φασὶ, λαβόντες ἐκ τοῦ τῆς σελήνης καὶ τοῦ ἡλίου σχήματος θέατρά τε κυκλοτερέσιν ἐσέμνυνον σχήμασι, καὶ τὸν τῆς ἀγορᾶς δὲ τόπον κύκλῳ περιέγραφον, κατὰ τὸ κυκλόεντ' ἀγορᾶς θρόνον· καὶ βωμοὺς δὲ ἱεροὺς πάντοσε κυκλοτερεῖς ἀνίστων, καὶ κατὰ περιστροφὴν δὲ, φασὶ, καθὰ καὶ ἄλλα τινὰ τῶν κάτω τοῖς ἄνω ἤθελον ἀφομοιοῦν. διὸ καὶ ἡ τράπεζα κυκλοειδὴς ἦν αὐτοῖς, κυκλοτερεῖς δὲ καὶ οἱ καθαγιζόμενοι τρίποδες, ἔχοντες αὐτοὶ καὶ ἀστέρας, οὓς, φασὶ, καὶ ἐκάλουν σελήνας. προσθετέον δὲ τούτοις, φασὶ, καὶ τὴν ἅλω, διαγεγραμμένην εἰς κύκλον· καὶ τὸν ἄρτον δὲ, φασὶν, οὕτως ἐκάλεσαν διὰ τὸ κατ' αὐτὸν στρογγύλον, ἐπειδὴ τῶν σχημάτων ὁ κύκλος ἀπήρτισται καί ἐστι τέλειος. La première observation est une note d'Aristarque. Les autres proviennent de Porphyre ou de son école, et sont probablement une tradition des Pythagoriciens du temps de Socrate.

211. Ὅθι, où : sur lequel. — Ἐπιρρέζεσκον, *vulgo* ἐπιρρέζεσκον : avaient coutume de faire des offrandes. Il ne s'agit pas de faire des sacrifices proprement dits, puisque le poëte ne parle que de la piété des voyageurs.

212. Σφέας, monosyllabe par synizèse. — Δολίοιο. Dolius était un serviteur d'Ulysse. Voyez le vers XXIV, 222. — Μελανθεύς. Il sera plusieurs fois question de ce chevrier dans la suite du récit. Homère le nomme indifféremment Μελανθεύς et Μελάνθιος. Voyez plus bas, vers 247.

214. Δεῖπνον, apposition à αἶγας : qui devaient servir au dîner. Il ne s'agit pas du dîner de ce jour-là, puisque nous sommes dans l'après-midi. Le mot est dit en général, et ne peut s'appliquer qu'aux dîners des jours suivants.

215. Τούς, eux : Eumée et Ulysse.

216. Ἔκπαγλον καὶ ἀεικές, expression adverbiale : d'une façon violente et outrageuse, c'est-à-dire d'une façon violemment outrageuse; car l'un des deux adverbes doit être pris comme un modificatif de l'autre. Didyme (*Scholies* H) : περιττὸς ὁ καί. — Bekker rejette, mais sans dire pourquoi, le vers 216 au bas de la page.

Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
Πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,
πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα; 220

217. Ἡγηλάζει. Ancienne variante, ἡγηλάζεις, leçon rejetée par Aristophane de Byzance et Aristarque, parce qu'elle n'était sans doute qu'une correction. Didyme (*Scholies* H) : οὕτως Ἀρίσταρχος καὶ Ἀριστοφάνης, χωρὶς τοῦ σ. Porson regrette la leçon rejetée : « Quæ sane lectio, « principum criticorum pace dixerim, mihi « longe melior videtur. Alloquitur enim « subulcum Melantheus et singularem pro-« positionem generali sententia compro-« bat. » Buttmann est d'un avis contraire à celui de Porson : « Non assentior. Sin-« gularitas enim sententiæ satis exprimitur « illo νῦν, irridenti autem longe melius « convenit usus tertiæ personæ. »

218. Ὡς αἰεὶ..., comme toujours un dieu mène le semblable vers son semblable. Le chevrier commente par un proverbe son expression κακὸς κακὸν ἡγηλάζει (l'homme de rien mène un homme de rien). Ce proverbe, souvent cité chez les Grecs, a son analogue dans toutes les langues. Les Latins disaient : *simile simili gaudet*. Nous disons d'une façon qui se rapproche davantage de celle d'Homère : *qui se ressemble s'assemble*. Les Allemands de même : *Gleich und Gleich gesellt sich gern*. — Ὡς τὸν ὁμοῖον. C'est le seul exemple, chez Homère, de ὡς employé comme préposition. Bothe change ὡς en εἰς : « Usus « τοῦ ὡς pro εἰς sive πρός non est Homeri, « sed Atticorum. » Quelques anciens écrivaient ἐς au lieu de ὡς. Mais ce n'était qu'une correction. La leçon ὡς est certaine. Elle est du moins attestée par les auteurs (Platon, Aristote et autres) qui ont cité le vers d'Homère. C'est un ἅπαξ εἰρημένον, voilà tout; et il n'y a rien d'étonnant à ce que l'usage attique ait eu pour antécédent quelque particularité de l'ionien primitif, d'où le dialecte d'Athènes est dérivé.

219. Τόνδε μολοβρόν, cet avale-tout. Didyme (*Scholies* V) : μολοβρόν· τὸν ἐπαίτην, τὸν γαστρίμαργον, τὸν μολίσκοντα ἐπὶ τὴν βοράν, τὸν ἀκόρεστον τροφῆς. Les *Scholies* Q disent à peu près la même chose; Apollonius pareillement, et Eustathe aussi.—Bothe : « Nec tamen βοράν huc « pertinere putem, sed μολοβρόν intelli-« gam μολομβρόν, μολομερόν, a μόλο-« μαι, hoc est *ventitantem*, ultro citroque « cursantem, ut solent mendici. » Curtius a consacré l'explication antique; car il traduit μολοβρός par *Fresser*. Seulement s'il reconnaît dans βρος la racine βορ, c'est de μολύνω qu'il rapproche μολο, et non de μολίσκω ou μόλομαι. — Ἀμέγαρτε συβῶτα, vil porcher. L'insulteur commente l'épithète κακός dont il a salué Eumée. Apollonius : ᾧ οὐκ ἄν τις μεγήρειεν, ὅ ἐστι φθονήσειε, ζηλώσειεν. *Scholies* Q : οὐδενὸς λόγου ἄξιε. — L'explication, dans les *Scholies* V, manque de précision et de netteté : ἢ ἐν τῷ συβωτεῖν ἀφθόνητε, ὃ δηλοῖ τὸ κακῶς πράττειν. ἢ ᾧ οὐκ ἄν τις φθονήσειε τοῦ συβωτεῖν, οἷον ἄξιε τοῦ συφορβεῖν. Mais la note de Didyme se retrouve, chez Eustathe, sous une forme plus satisfaisante : ἀμέγαρτος συβώτης ὁ εὐτελὴς καὶ ἄζηλος, ᾧ οὐκ ἄν τις, φασί, φθονήσοι τοῦ συβωτεῖν.... ἢ καὶ ἄλλως.... ὁ ἀχρεῖος καὶ διὰ τὴν ἀτεχνίαν ἀφθόνητος. — Bothe justifie l'explication par le proverbe latin : *Miserrima est fortuna, quæ inimico caret*. A côté de ce vers, il cite le mot de Pindare : κρέσσων οἰκτιρμῶν φθόνος. — Mélanthius est du parti des prétendants. Cela suffit pour rendre raison de son hostilité contre Eumée. Cependant les anciens supposaient encore autre chose. Eustathe : ἰστέον ὅτι ἀγλαΐα τις ἦν τῷ Μελανθίῳ, καὶ τὸ μὴ αὐτὸν ἄγειν τὰς αἶγας, ἀλλὰ δύο ἕπεσθαι νομῆας αὐτῷ. ὅτι δὲ ἔχαιρεν ἀγλαΐαις ὁ Μελάνθιος, ἐν τοῖς ἑξῆς φανεῖται. Ceci nous renvoie aux vers 244-246. Mais il est évident qu'Eumée était un personnage aussi important pour le moins que Mélanthius.

220. Δαιτῶν ἀπολυμαντῆρα développe l'idée contenue dans μολοβρόν. Horace, *Épîtres*, I, XV, 31-32 : « Pernicies et tem-« pestas barathrumque macelli, Quidquid « quæsierat, ventri donaret avaro. » — Didyme (*Scholies* V) : λυμεῶνα τῶν εὐωχιῶν, ἢ τὸν τὰ καθάρματα προσφερόμενον τῶν εὐωχιῶν. La dernière de ces deux

Ὅς πολλῇς φλιῇσι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας οὐδὲ λέβητας·

explications a été imaginée à cause du verbe ἀπολυμαίνεσθαι, purifier, nettoyer. Elle n'est pas naturelle. Cependant c'est celle que semblent avoir préférée les anciens. *Scholies* B, H et Q : τὸν τὰ ἀποκαθράματα τῶν εὐωχιῶν ἐσθίοντα. Eustathe, qui ne fait qu'indiquer la vraie explication, développe l'autre avec complaisance : δαιτῶν ἀπολυμαντὴρ ὁ τὰς δαῖτας διὰ λαιμαργίαν λυμαινόμενος, ἢ τὰ τῶν δαιτῶν λύματα, ὅ ἐστι καθάρματα, οἷον ψιχία καὶ εἴ τι τοιοῦτον, ἀποφερόμενος. ὁποῖος, καὶ ὁ ἀκόλους αἰτίζων (vers 222). —Ameis fait observer que δαιτῶν périspomène est le génitif pluriel de δαίτη et non de δαίς : « Denn von δαίς, δαιτός, steht « die erste Silbe stets in der Arsis. » On se rappelle qu'Homère emploie indifféremment les deux formes δαίς et δαίτη. Voyez III, 44; VII, 50, et *Iliade*, X, 217. — Quelques anciens séparaient en deux le mot ἀπολυμαντῆρα, et se créaient ainsi comme à plaisir une difficulté d'interprétation; car δαιτῶν ἄπο signifierait, ce semble, *en fuyant les festins*. On peut cependant y trouver l'idée de reliefs : τῶν ἀπὸ δαιτῶν. Quoi qu'il en soit, Nicanor (*Scholies* H) condamne cette orthographe : ὑφ' ἓν τὸ ἀπολυμαντῆρα.

221. Ὅς, selon les uns, est conjonctif, et démonstratif selon les autres. Ceux-ci semblent avoir raison. Il est tout naturel que Mélanthius dise : ce misérable. — Φλιῇσι, montants de porte. Didyme (*Scholies* V) : ταῖς παραστάσι τῆς θύρας. — Θλίψεται ὤμους, s'usera les épaules. Anciennes variantes : φλίψεται ὤμους et θλίψεται ἦτορ. On admettait les deux orthographes θλίψεται et φλίψεται. Eustathe : φλίψεται ἢ θλίψεται, διχῶς γὰρ ἡ γραφή. Les deux mots ont le même sens et sont au fond identiques. Cependant les Alexandrins, et Zénodote lui-même, préféraient la leçon θλίψεται. Didyme (*Scholies* H) : διὰ τοῦ θ, ὡς καὶ Ζηνόδοτος. Quant à la leçon ἦτορ, il est douteux qu'elle ait eu beaucoup de partisans. C'est une réalité physique que décrit Mélanthius; et la torture morale n'a pas besoin d'être exprimée. Didyme (*Scholies* Q et V) : θλίψεται Αἰολικῶς ἀντὶ τοῦ θλιβήσεται· ὃς οὐκ ἐκδήσεται τῶν φλιῶν, οὐδὲ εἴξει. εἰώθασι δὲ οἱ πτωχοὶ προσκλίνεσθαι ταῖς θύραις, ἢ προστρίβεσθαι.

222. Αἰτίζων.... Le mendiant à qui on jette des restes est mis en opposition avec le convive qui reçoit de son hôte quelque riche cadeau. — Ἀκόλους, des morceaux que l'on ne peut plus couper : des miettes. Eustathe : ἄκολοι δὲ οἱ σμικρότατοι καὶ ψιχιώδεις ψωμοί, εἴτουν πύρνα. ταὐτὸν γὰρ πύρνον εἰπεῖν καὶ ψωμὸν κατὰ τὸν παραφράσαντα, οὓς οὐκ ἄν τις ἔχοι κολούειν ἤτοι κολοβοῦν, σμικροτάτους ὄντας. παλαιὸς δέ τις καὶ οὕτω φράζει· ἄκολος, μικρὸς ψωμός, μηκέτι κολούεσθαι δυνάμενος καὶ εἰς μικρὰ τέμνεσθαι. L'ancien dont il est question ici est Aristarque lui-même; et cette explication se trouve plusieurs fois répétée dans les *Scholies*. — Ἄορας, comme ἄορα : des épées. Quelques-uns même écrivaient ἀορα. *Grand Étymologique* Miller : οὐκ ἄορα· τὰ ἄορα· οὐκ ἄορα, οὔτε λέβητας· ἔστι δὲ οὐδέτερον. — Mais les anciens ne s'accordaient pas plus sur le sens du mot que sur son orthographe. La plupart voyaient dans ἄορας une simple métathèse de ὄαρας. Alors il s'agirait de femmes données en cadeau. Cette explication n'est pas très-vraisemblable. D'autres entendaient par ἄορας, des vases sans anses, des trépieds. C'est l'interprétation qui, l'on ne sait pourquoi, a généralement prévalu. — Eustathe : ἄορας δὲ τὰς γυναῖκας λέγει, παρὰ τὸ ἀείρω τὸ συζευγνύω, ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ ἐν τῷ ἀμυνέμεναι ὤρεσσιν (V, 486), τουτέστι ταῖς γυναιξίν. ἕτεροι δὲ ἄορα γράφουσι χωρὶς τοῦ σίγμα, ἤγουν ξίφη, ὡς ἂν λέγῃ κατὰ μὲν τὴν πρώτην γραφήν, ὅτι αἰτῶν οὐ μεγάλα τινά, οἷον γυναῖκας δμωάς, ἢ λέβητας, ὁποῖα τοῖς μεγάλων ἀξίοις δίδονται, ἀλλὰ ἀκόλους τοὺς ῥηθέντας· κατὰ δὲ τὴν δευτέραν γραφήν, αἰτῶν οὐ ξίφη καὶ τάδε τινὰ τιμῆς ἄξια, ψωμοὺς δὲ βραχεῖς τινάς. — Ce qui a fait imaginer l'explication par γυναῖκας, c'est l'exemple ἢ τρίποδ', ἠὲ γυνή (*Iliade*, XXII, 164). Mais il s'agit là de prix à disputer dans des jeux funèbres; et un mendiant ne peut pas être comparé à un athlète. De plus le mot ὄαρ n'est synonyme de γυνή que dans le sens d'épouse; et il ne s'agirait

τόν γ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι,
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι·
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο. 225
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον

ici que de femmes esclaves : γυναῖκας δμωάς, dit Eustathe. L'explication par τρίποδας, qu'Eustathe a négligée, est répétée trois ou quatre fois dans les *Scholies*, concurremment avec les deux autres, et chaque fois, sauf des fautes de transcription, dans des termes identiques : οἱ δὲ τοὺς ὦτα οὐκ ἔχοντας τρίποδας, παρὰ τὸ αἴρεσθαι, ὅ ἐστι βαστάζεσθαι (c'est par erreur qu'il y a sans négation, dans les *Scholies* V : τοὺς ὦτα ἔχοντας). Cette explication est tout à fait arbitraire. Reste donc celle que nous avons donnée. C'est celle d'Hésychius, et, selon toute probabilité, celle d'Aristarque. Ameis n'a point hésité à la préférer aux deux autres : « ἄορας « Schlachtschwerter mit λέβητας als Be- « zeichnung ehrenvoller Gastgeschenke. » — Ameis applique ceci aux cadeaux que recevaient les hôtes de distinction à leur départ de la maison où ils avaient été reçus. Mais le mot αἰτίζων n'autorise point cette explication. Mélanthius songe plutôt au parasite qui trouve moyen d'obtenir de son patron quelque objet de valeur. Il est vrai qu'on le traite alors comme un hôte favorisé. Mais enfin nous devons rendre compte de tous les détails.

223. Τόν γ(ε), *vulgo* τόν κ(ε). — Γενέσθαι, *vulgo* λιπέσθαι, comme au vers 187. La Roche a eu raison de rétablir la leçon γενέσθαι, qui donne ici un sens plus naturel; car, comme nous l'avons dit au vers 187, les deux exemples ne sont point identiques.

224. Σηκοκόρον, balayeur d'étables. Didyme (*Scholies* V) : ἐπιμελητὴν ἐπαυλέως, ἢ τὸν σαίροντα τοὺς σηκούς. σηκοὶ δὲ λέγονται αἱ μάνδραι καὶ οἱ τόποι ἔνθα συγκλείονται αἱ αἶγες καὶ τὰ πρόβατα. — Θαλλόν, du branchage, c'est-à-dire des rameaux verts, de la verdure. Didyme (*Scholies* V) : πᾶν τὸ ἐκ γῆς φυέν. ἢ τὴν φυλλάδα. πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται, ὑπὸ τῶν Ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. L'olivier était en effet, pour les habitants de l'Attique, l'arbre par excellence. Cependant l'observation sur l'emploi spécial de θαλλός par les poëtes d'Athènes n'est pas vraie d'une manière absolue. Bothe : « Hoc si ita esset, θαλλὸν « ἐλαίας non dixisset Euripides (*Iphi- « génie en Tauride*, vers 1024); verum « sæpe θαλλόν ramum oleæ vocant Attici « κατ' ἐξοχήν, propter frequentiam ejus « arboris in Attica et celebritatem Mi- « nervæ, cui sacra fuit. »

225. Ὀρὸν πίνων, buvant du petit lait : à boire du petit lait. — Μεγάλην ἐπιγουνίδα, une forte cuisse, c'est-à-dire un corps bien en point. C'est la partie pour le tout. Didyme (*Scholies* Q et V) : ὀρὸς ἡ ὑδατώδης καὶ ἐφθαρμένη ὑποστάθμη τοῦ γάλακτος, ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑπολειπόμενον ὑδατῶδες. ἐπιγουνίδα δὲ λέγει τὴν τοῦ σώματος εὐεξίαν. ἀπὸ γὰρ μέρους τοῦ κατὰ τὸ γόνυ δέρματος τὸ πᾶν ἐσήμανεν· ἢ τὸ ὑπεράνω τοῦ γόνατος. L'exemple XVIII, 74 prouve que le sens propre du mot ἐπιγουνίς est cuisse, et non point peau du genou.

226. Ἔμμαθεν, redoublement analogue à ἔλλαβε, ἐλλιτάνευε, etc. Eustathe : ἔμμαθε διπλάζει τὸ μῦ κατὰ τοὺς παλαιούς. Ceci veut dire que quelques anciens donnaient à la lettre μ la valeur d'une lettre double, et écrivaient ἔμαθεν, mais que cette orthographe n'avait point été admise par Aristarque et son école. Preuve nouvelle de la conscience avec laquelle les Alexandrins se soumettaient au fait; car il y a maint passage, chez Homère, où ils ne doublent point la liquide, et tiennent pour longue la brève dont elle est précédée. Il est vrai qu'Eustathe prête une raison spéciale à ceux qui laissaient ἔμαθεν sous sa forme ordinaire : ἰστέον δὲ ὅτι καὶ δι' ἑνὸς μῦ γραφὲν τὸ ἔμαθεν ἐκτείνοι ἂν τὴν ἄρχουσαν διὰ τῆς ὀξείας κατὰ λόγον κοινῆς συλλαβῆς.

227. Ἔργον ἐποίχεσθαι, périphrase pour ἐργάζεσθαι. — Πτώσσων, selon les anciens, est ici dans le sens de πτωχεύων, de μεταιτῶν. Cette explication est même

βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο, 230
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων
πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.

la seule qu'on lise dans les *Scholies*, chez Apollonius, chez Eustathe. Cependant on ne voit pas pourquoi le poëte aurait dit αἰτίζων, si πτώσσων avait déjà exprimé la chose même. Bothe, après avoir cité plusieurs passages où se trouve le verbe πτώσσω, ajoute : « Ex quibus locis similibusque « intelligas, πτώσσειν proprie esse *trepi-* « *dare* et ultro citroque cursare, ut solent « mendici... Hinc τῷ πτώσσων subjectum « est αἰτίζων. »

228. Αἰτίζων, qu'on a vu plus haut, vers 222, avec un complément, est employé ici d'une manière absolue. Notre verbe *mendier* est pareillement actif et intransitif. — Βόσκειν. Mélanthius considère le vieux mendiant comme un animal, et non comme une personne humaine. Eustathe : τὸ δὲ βόσκειν ὡς ἐπὶ ἀλόγου ζώου ἔφη, σκώπτων καὶ οὕτως. — Ἄναλτον, insatiable. Didyme (*Scholies* V) : ἀπλήρωτον. *Scholies* B et Q : ἀκόρεστον, παρὰ τὸ μηδέποτε ἅλις ἔχειν. ὁ δὲ Ἡρωδιανὸς τὴν γαστέρα ἀναύξητον, ἄναλδόν τινα οὖσαν, τὴν ἀεὶ ξηρὰν καὶ ταπεινήν. Toutes ces étymologies sont des chimères. Le mot ἄναλτος se rattache à la racine ἀλ, nourrir. Comparez le latin *alo, altus*.

229. Ἀλλ' ἔκ τοι... Répétition textuelle du vers II, 187.

231-232. Πολλά οἱ.... Construisez : πλευραὶ βαλλομένοιο κατὰ δόμον ἀποτρίψουσίν οἱ πολλὰ σφέλα (βαλλόμενα) ἀμφί κάρη ἐκ παλαμάων ἀνδρῶν. On peut aussi considérer οἱ comme équivalent de αὐτοῦ, et le faire accorder avec βαλλομένοιο. C'est ainsi que faisaient les Alexandrins dans tous les passages analogues.

231. Ἀμφὶ κάρη. Ancienne variante, ἀμφικαρῆ, épithète de σφέλα. Mais il n'est pas facile de comprendre ce que pouvait signifier cette épithète. Didyme (*Scholies* V) : τινὲς μὲν ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. ἄμεινον δὲ κατὰ παράθεσιν ἀναγινώσκειν, ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. — Les deux ou trois prétendues explications de ἀμφικαρῆ qu'on lit dans les *Scholies* justifient parfaitement cette conclusion. Sans doute l'hyperbole de Mélanthius est énorme; mais, comme le remarquait un ancien, il y en a, dans le langage courant, qui ne sont pas beaucoup moins hors nature. Cette observation paraît être d'Hérodien. *Scholies* B, H et Q : ὁ μὲν Ἀσκαλωνίτης ἀμφικαρῆ σφέλα τὰ μικρὰ ὑποπόδια διὰ τὰς βάσεις, ὁ δὲ Ἡρωδιανὸς ἀμφὶ κάρη, ὡς εἰ ἔλεγε, πεμπόμενα ἐπὶ τὸ κάρη καὶ κατερχόμενα εἰς τὰς πλευρὰς συντρίψουσιν αἱ πλευραί. ὑπερβολικῶς δὲ εἶπεν, ὡς εἰ φαίη τις ὅτι πολλὰς μάστιγας κατέτριψεν ὁ νῶτος τοῦδε. — Quelques-uns rapportaient ἀμφὶ κάρη à ἐκ παλαμάων. Mêmes *Scholies* B, H et Q : ὡς αὐτῶν τῶν βαλλόντων ἐπὶ τὴν κεφαλὴν ἐχόντων τὰς χεῖρας, ὁπότε μέλλοιεν ἀποπέμπειν κατ' αὐτοῦ. C'était remplacer une invraisemblance par une autre invraisemblance, et plus grande encore; car enfin l'escabeau lancé à la tête peut bien atteindre le flanc, tandis qu'il est impossible de lancer un escabeau en ayant les mains sur la tête. Encore si ἀμφὶ κάρη équivalait à ἀπὸ τῆς κεφαλῆς! Ce serait le *telum librabat ab aure* (*Énéide*, IX, 416). Mais cette équivalence est une hypothèse absurde. — Σφέλα pour σφέλαα, de σφέλας. Le sens du mot n'est pas douteux. Cependant les anciens en ont imaginé un autre : coups de poing, ou plutôt bourrades. *Scholies* Q et V : τὰ ὑποπόδια, ἢ τὰ ἐντινάγματα τὰ δυνάμενα σφῆλαι, ὅ ἐστι κινῆσαι. Cela serait ingénieux, si l'on pouvait faire concorder l'idée avec ce qui suit, et surtout avec l'exemple σφέλας ἔλλαβεν, XVIII, 394. La note que je viens de transcrire est probablement de Didyme. Mais c'est la première des deux explications qu'il préférait; car il dit, à propos de ἀμφὶ κάρη, après avoir énuméré toutes les opinions : σφέλα δὲ τὰ μικρὰ ὑποπόδια.

232. Πλευραὶ ἀποτρίψουσι. On a vu plus haut, à propos de ἀμφὶ κάρη, l'observation d'Hérodien sur cette hyperbole. Didyme (*Scholies* V) avait fait avant Hérodien, à propos de l'expression elle-même, une observation analogue : ἐμφατικῶς, ὅτι

Ὣς φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεὺς, 235
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
ἢ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας.
Ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
νείκεσ' ἐσάντα ἰδὼν, μέγα δ' εὔξατο χεῖρας ἀνασχών·
Νύμφαι κρηναῖαι, κοῦραι Διὸς, εἴποτ' Ὀδυσσεὺς 240

αἱ τούτου πλευραὶ ἀποτρίψουσι τὰ ὑποπόδια. Eustathe dit que quelques-uns écrivaient πλευράς, et qu'ils faisaient de σφέλα le sujet de ἀποτρίψουσι. Mais cette leçon est inadmissible, car la syllabe finale de πλευράς est longue.

233. Λάξ. Il ne faut pas prendre ce mot au propre. De quelque façon qu'on se figure le coup de pied porté par Mélanthius, ce n'est pas son talon seul qui a frappé. Entendez λάξ de tout le dessous du pied. Mélanthius lève la jambe, et frappe Ulysse du plat de sa chaussure. Voilà ce que dit λάξ (avec le talon). — Ἀφραδίῃσιν, par irréflexion : follement.

234. Ἰσχίῳ dépend de ἔνθορεν, et Ὀδυσσέως est sous-entendu. — Οὐδέ est dans le sens étymologique, comme s'il y avait ἀλλ' οὐ. — Μιν, lui : Ulysse.

235. Ἔμεν(ε) a pour sujet Ὀδυσσεύς sous-entendu. — Ὁ peut être pris comme un titre d'honneur. On peut aussi le prendre pour une simple indication du sujet, indication que précise ensuite le nom lui-même d'Ulysse.

236. Ἠέ, *utrum*, si. — Ῥοπάλῳ, du bâton : d'un coup de bâton.

237. Ἤ, *an*, ou bien si. Ancienne variante, ἦ. C'était l'orthographe d'Hérodien, comme dans tous les exemples analogues. Bekker, Ameis et La Roche écrivent ἦ. — Κάρη, la tête (de Mélanthius). — Ἀμφουδίς ἀείρας, sous-entendu αὐτόν : l'ayant soulevé près du sol, c'est-à-dire en le saisissant par le bas, par les pieds. — Ancienne variante, ἀμφ' οὖδας ἐρείσας. L'adverbe est constaté par la note prosodique d'Hérodien (*Scholies* H) : τὸ η τὸ δεύτερον περισπαστέον. τὸ δὲ ἀμφουδίς ὀξύνεται ὡς λικριφίς. Cet adverbe a exactement le même sens que ἀμφ' οὖδας. Eustathe : τὸ ἀμφουδίς οὐδὲν διαφέρει τοῦ ἀμφ' οὖδας πλὴν ὡς αὐτὸ ἐπίρρημά ἐστιν ἐκεῖθεν παραχθέν. Mais ἐρείσας, soit avec ἀμφ' οὖδας, soit avec ἀμφουδίς, n'est pas une leçon satisfaisante; car il y aurait tautologie et affaiblissement d'expression. Eustathe : λέγει δὲ ἀμφουδὶς ἐρεῖσαι τὸ πρὸς τῇ γῇ ῥῖψαι, καὶ ἔστι ταυτὸν τῷ πρὸς γῆν ἐλάσαι. Aussi ἐρείσας a-t-il été rejeté par Didyme (*Scholies* M) : γράφε ἀείρας. En effet, la vulgate s'explique mieux. Eustathe : εἰ δὲ γράφεται ἀείρας, εἴη ἂν ὁ νοῦς τοιοῦτος· ὡς ἐβουλεύσατο Ὀδυσσεὺς, ἢ ἀνέλοι τὸν κακὸν, ἢ ἀείρας ἀμφουδὶς, τουτέστιν ἐκ γῆς, πρὸς γῆν αὖθις ἐλάσειε τὴν ἐκείνου κεφαλήν. De cette façon tout se suit parfaitement. — Cependant quelques-uns ne voyaient, dans ἀμφουδίς, qu'une dépendance de πρὸς γῆν son synonyme. Eustathe : ἢ καὶ ἄλλως, ἀείρας βάλῃ τὴν κεφαλὴν πρὸς γῆν ἀμφουδὶς, κατὰ μίαν ἀμφοῖν τῶν λέξεων ἐκ παραλλήλου ἔννοιαν. — Bothe trouve détestables toutes ces explications, et il regarde le texte comme altéré. Il propose de lire ἀμφ' οὔας(ι) : « Dubitabat Ulysses, occideretne scelus istud hominis, an prostrati caput auribus arreptum solo infligeret. » Cela est ingénieux sans doute, mais bien forcé.

238. Ἐπετόλμησε, il se résigna. — Φρεσί, dans l'esprit : intérieurement. — Ἔσχετο, il se contint. — Τόν, lui : Mélanthius.

239. Μέγα δ' εὔξατο, et il fit une prière à haute voix.

240. Νύμφαι κρηναῖαι, Nymphes des fontaines. — On discutait, chez les anciens, pour savoir si Eumée s'adresse à ces Nymphes en qualité de paysan, ou à cause du lieu où il se trouve. *Scholies* H, Q et V : ταύταις προσεύχεται ἤτοι καθὸ ἀγροῖκός ἐστιν, ἢ ὅτι τότε τὴν κρήνην προῄει. C'est la dernière explication qui est la meilleure. Didyme (*Scholies* H) : προείρηται γὰρ ὡς ἐπὶ κρήνην ἀφίκοντο (vers 205).

240-242. Εἴποτ' Ὀδυσσεύς.... Ces vers

ὕμμ' ἐπὶ μηρί' ἔχηε, καλύψας πίονι δημῷ,
ἀρνῶν ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ 245
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Ὢ πόποι, οἷον ἔειπε κύων ὀλοφώϊα εἰδώς·
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι. 250
Αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.
Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ ἦκα κιόντας·
αὐτὰρ ὁ βῆ, μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος. 255
Αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι καθῖζεν,
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.

rappellent les paroles de Chrysès, *Iliade*, I, 39-41. Voyez les notes sur ce passage. Voyez aussi les imitations de Virgile, *Énéide*, IX, 406-407 et XII, 778.

243. Ὡς ἔλθοι.... Explication de τόδε ἐέλδωρ. — Κεῖνος ἀνήρ, ce noble héros.

244. Τῷ, par là, c'est-à-dire aussitôt qu'il serait de retour. — Τοι, à toi. Eumée s'adresse maintenant à Mélanthius. Il va justifier l'expression du poëte (vers 239), νείκεσ' ἐσάντα ἰδών. — Ἀγλαΐας, *fastus*, les prétentions insolentes. Didyme (*Scholies* V) : τοὺς καλλωπισμούς. — Mélanthius se regardait comme l'égal des prétendants, parce qu'il était admis dans leur société. Il était particulièrement protégé par Eurymaque. Voyez plus bas, vers 256-260. Nous indiquerons, à propos du vers 357, la cause de l'affection du jeune prétendant pour le chevrier.

246. Κάτ' a un accent à cause de la place qu'il occupe. Hérodien (*Scholies* H) : εἰ καὶ συναλοιφή, ὅμως δύναται ἀναστρέφεσθαι διὰ τὴν ἀνάπαυσιν. Lehrs, dans les *Questions épiques*, p. 76 : « Semel « anastrophen passa est præpositio de- « curtata. » — Αὐτάρ, et puis, c'est-à-dire pendant que tu fais le fanfaron dans la ville. Didyme (*Scholies* H) : σοῦ γὰρ ὄντος ὧδε, ὃ θέλουσι ποιοῦσιν οἱ ὑπὸ σέ. — Μῆλα, les troupeaux : tes chèvres. Eustathe : τὰ ὑπὸ σὲ θρέμματα, τὰς αἶγας δηλαδή. Didyme (*Scholies* H) : τὸ δὲ μῆλα νῦν μόνως τὰς αἶγας. — Φθείρουσι. C'est la conséquence du défaut de soins, et aussi peut-être celle d'excès analogues aux déportements dont parle Virgile, *Églogues*, III, 5 : « Hic alienus oves « custos bis mulget in hora. »

248. Ὀλοφώϊα. Voyez la note du vers IV, 410.

250. Ἵνα.... ἄλφοι, afin qu'il rapporte. Ajoutez : vu le prix que je le vendrai.

251. Βάλοι.... Ἀπόλλων. Il souhaite que Télémaque meure de mort subite. Voyez la note du vers III, 280.

253. Ὡς, aussi sûr que. Voyez, IX, 525, le même emploi de ὡς.

254. Αὐτοῦ, là-même, c'est-à-dire près de la fontaine.

255. Ἄνακτος, du roi : d'Ulysse.

256. Καθῖζεν, il s'asseyait : il alla s'asseoir. *Scholies* V : ἐκαθέζετο.

257. Ἀντίον Εὐρυμάχου, en face d'Eu-

Τῷ παρὰ μὲν κρειῶν μοῖραν θέσαν οἳ πονέοντο·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα
ἔδμεναι. Ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς 260
στήτην ἐρχομένω· περὶ δέ σφεας ἤλυθ' ἰωὴ
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος·
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι. 265
Ἐξ ἑτέρων ἕτερ' ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ

rymaque : à la même table qu'Eurymaque. — Τόν, lui : Mélanthius. — Φιλέεσκε a pour sujet Εὐρύμαχος sous-entendu. La cause de cette affection extraordinaire d'Eurymaque pour Mélanthius, c'est que Mélantho, sœur de Mélanthius, était la maîtresse d'Eurymaque. *Scholies* Q : ἐπεὶ τῇ ἀδελφῇ αὐτοῦ ἐμίγνυτο Μελανθοῖ. Voyez le vers XVIII, 325.

258. Παρά, *vulgo* πάρα. Il vaut mieux joindre la préposition au verbe θέσαν, que de lui donner τῷ pour complément. — Οἳ πονέοντο, ceux qui travaillaient : les gens de service.

259. Σῖτον.... Répétition du vers I, 139.

260. Ἔδμεναι, comme ὥστε ἔδμεναι. — Ἀγχίμολον, proche : à peu de distance du palais.

261. Δέ est explicatif, et il équivaut à γάρ. Didyme (*Scholies* H) : περὶ δέ σφεας, ἀντὶ τοῦ, περὶ γάρ σφεας, ἵνα τοῦ στῆναι φαίνηται ἡ αἰτία.

262. Ἀνά doit être joint à βάλλετο : ἀνεβάλλετο, préludait. Voyez le vers I, 155. — Σφισι, pour eux : pour les prétendants.

263. Ὁ, lui : Ulysse.

264. Τάδε, sous-entendu ἐστί : voilà.

265. Δ(έ), car. Voyez plus haut la note du vers 261. — Ἐν πολλοῖσιν, sous-entendu δώμασι.

266. Ἐξ ἑτέρων ἕτερ' ἐστίν, c'est-à-dire ἕτερα δώματα ἔξεστιν ἑτέρων : des maisons sortent d'autres maisons. — Ceci peut s'entendre de deux façons : ce sont plusieurs maisons l'une sur l'autre, c'est-à-dire cette maison a plusieurs étages; ce sont plusieurs maisons qui se tiennent, et dont l'ensemble forme un immense édifice. La première explication est celle que donnent les anciens, et qu'ont adoptée presque tous les modernes. Didyme (*Scholies* V) : διὰ τούτων βούλεται δηλοῦν ὡς οὐ μονοστέγων τῶν βασιλείων ὄντων, ἀλλὰ πολυστέγων. Les maisons ordinaires n'avaient qu'un rez-de-chaussée. *Scholies* B et Q: κατ' ἀκρίβειαν τὸ ἕτερα διὰ τὸ δίστεγα εἶναι, ὡς μονοστέγων ὄντων τῶν ἰδιωτικῶν οἰκημάτων. Eustathe : ἐξ ἑτέρων ἑτερά ἐστιν, ὅ ἐστιν οὐ μονόστεγα, ἀλλ' ὑπερῷα (voyez I, 328, 362, etc.), ὁποῖοι καὶ οἱ πρὸ βραχέων ὑψηλοὶ δόμοι τοῦ Νέστορος (voyez plus haut, vers 110). — Quelques-uns croyaient que le palais était à trois toits, c'est-à-dire avait deux étages au-dessus du rez-de-chaussée. *Scholies* P : δηλονότι τρίστεγοί εἰσι. Ils étaient dans l'erreur. Bothe : « Neque enim novit Ho« merus δόμους τριστέγους. » En effet, Homère ne parle jamais que de l'*hyperôon*, c'est-à-dire d'un premier étage unique. — Fæsi et Ameis entendent ἐξ ἑτέρων ἕτερα dans le sens de l'étendue, l'un et l'autre rappelant les θάλαμοι de la cour, dépendances du bâtiment principal. Voyez les vers I, 425-426. Ameis renvoie aussi au vers III, 399, où il s'agit du portique de Nestor, et au vers XXII, 442, où l'on revient aux dépendances du palais d'Ulysse. Je ne vois pas pourquoi nous n'admettrions pas tout à la fois et cette explication et celle des anciens. Ulysse admirerait en même temps et l'immensité de son palais et la hauteur du corps de bâtiment principal. — Ἐπήσκηται, de ἐπασκέω : a été soigneusement ornée, c'est-à-dire est parfaitement munie, est entourée de toutes parts. Didyme (*Scholies* Q et V) : μετ' ἐπιμελείας διακεκόσμηται. — Οἱ se rapporte au palais, et non point à Ulysse.

τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐερκέες εἰσὶν
δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
Γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες· ἐπεὶ κνίση μὲν ἐνήνοθεν, ἐν δέ τε φόρμιγξ 270
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
Ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
Ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὐναιετάοντας, 275
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν.

L'accord πρὸς τὸ σημαινόμενον est motivé par l'idée comprise dans δώματα, et qui est δόμος. Voyez le vers X, 212 et la note sur ce vers.

267. Τοίχῳ καὶ θριγκοῖσι, d'un mur et de chaperons, c'est-à-dire d'un mur avec son couronnement. *Scholies* B et Q : τοῖς ἐπὶ τῶν τοιχίων ἀκανθώδεσι περιφράγμασιν εὖ ἠσφαλισμένοις. *Scholies* H : ἀστέγαστόν τι περίφραγμα πρὸ τῶν οἰκημάτων. Je croirais volontiers que τοίχῳ καὶ θρίγκοισι est un ἓν διὰ δυοῖν, et, d'après le sens de θριγκόω (XIV, 10), signifie simplement, *d'un mur d'enceinte*. Mais rien n'empêche que ce mur fût couronné d'une sorte de créneaux. — Θύραι. Il s'agit des portes de la cour. — Εὐερκέες, *vulgo* εὐεργέες. Les anciens admettaient les deux leçons. Didyme (*Scholies* V) : εὐερκέες, ἀσφαλεῖς. εἰ δὲ εὐεργέες, καλῶς εἰργασμέναι. Eustathe : θύραι δ' εὐερκέες ἢ εὐεργέες εἰσίν. Mais l'épithète εὐερκέες s'applique mieux à la porte d'une cour.

268. Μιν, comme οἱ plus haut (vers 266), se rapporte au palais. *Scholies* H : αὐτὸ τὸ δῶμα. On peut, si l'on veut, rapporter μιν à αὐλή, ce qui revient au même; car on ne forcerait la cour que pour s'emparer du palais. — Ὑπεροπλίσσαιτο équivaut à νικήσειεν, ou, comme dit Lehrs, à νικήσειε τοῖς ὅπλοις. Le palais est imprenable. C'est l'explication d'Aristarque. Apollonius : Ἀρίσταρχος ἀποδίδωσι νικήσειεν. — D'autres anciens entendaient, par ὑπεροπλίσσαιτο, un sentiment de mépris, et par conséquent faisaient de l'homme dont il s'agit un admirateur du palais; car ne point mépriser, en style homérique, c'est grandement estimer. Cette interprétation a été adoptée par Buttmann et par plusieurs modernes. Peut-être celle d'Aristarque et d'Apollonius exagère-t-elle les choses. Le palais n'était pas une forteresse proprement dite. C'était une habitation bien enclose et à l'abri d'un coup de main. Didyme (*Scholies* V) réduit à cette mesure son inexpugnabilité, et semble d'ailleurs préférer l'interprétation morale : ἤτοι ὑπερηφανήσει, ἢ εὐχερῶς ἐπιβουλεύσει.

269. Ἐν αὐτῷ. Ici il est impossible d'expliquer autrement que par ἐν τοῖς δώμασι. — Τίθενται. Ancienne variante, πένονται.

270. Ἐνήνοθεν, *vulgo* ἀνήνοθεν. Ce n'est qu'une différence d'orthographe. Didyme (*Scholies* H) : Ἀρίσταρχος ἐνήνοθεν, αἱ δὲ κοιναὶ ἀνήνοθεν. Le sens est le même. Didyme (*Scholies* H et V) : ἀνέρχεται.

271. Δαιτὶ.... ἑταίρην. Voyez le vers VIII, 99.

272. Τὸν.... Voyez le vers XIII, 55 et la note sur ce vers.

273. Ῥεῖ(α), facilement, c'est-à-dire sans peine d'aucune sorte.

274. Ἀλλ' ἄγε δή.... Ce vers est emprunté presque textuellement à l'*Iliade*, XIV, 61.

276. Δύσεο δὲ μνηστῆρας, et pénètre parmi les prétendants. Didyme (*Scholies* H) : εἴσελθε. — Αὐτοῦ, adverbe : ici.

277. Εἰ δ' ἐθέλεις (mais si tu veux) équivaut à ἤ, ou bien, et correspond à ἠέ du vers 275. — Εἶμι προπάροιθεν, je mar-

Μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα.
Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς· 280
Γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
Ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ.
Οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων·
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω. 285
Γαστέρα δ' οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν·
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ' ἀτρύγετον, κακὰ δυσμενέεσσι φέρουσαι.

cherai devant. — Didyme (*Scholies* H) fait remarquer que προπάροιθε est tantôt adverbe de lieu, tantôt adverbe de temps. Ici il est adverbe de lieu.

278. Δηθύνειν, l'infinitif dans le sens de l'impératif. Bothe : « Negat morandum « esse, utrumvis horum consiliorum placeat « Ulyssi. »

279. Βάλῃ et ἐλάσῃ contiennent tous deux l'idée de frapper; mais le premier signifie frapper de loin, et le second frapper de près. Eumée craint les projectiles ou les coups de poing et les coups de pied qui pourraient accueillir le vieillard. — La traduction de ἐλάσῃ par *pellat* n'est point exacte, du moins ici. C'est ce que prouve le mot πληγέων, vers 283. — Τά, ces choses : ce que je te dis là.

280. Γιγνώσκω,... Répétition du vers 193. Voyez la note du vers XVI, 136.

281. Προπάροιθεν, comme au vers 277. — Αὐτοῦ, comme au vers 276.

283. Πληγέων, dissyllabe par synizèse. Ce mot correspond à ἐλάσῃ, et il désigne les coups de poing et les coups de pied.— Ἀδαήμων, sous-entendu εἰμί. *Scholies* H : λείπει τὸ εἰμί. — Βολάων correspond à βάλῃ. Il s'agit de coups lancés à l'aide de projectiles quelconques.

284. Τολμήεις, endurant : capable de tout supporter. *Scholies* Q : ὑπομονητικός.

285. Κύμασι.... Voyez le vers V, 224 et la note sur ce vers.

286. Γαστέρα, l'estomac : le besoin de manger. — Ἀποκρύψαι, d'avoir caché : de ne pas laisser paraître. *Scholies* B : ἀνεξέλεγκτον ποιῆσαι. ἐμφαίνει γὰρ ἑαυτήν. — Μεμαυῖαν, faisant effort, c'est-à-dire quand il veut se satisfaire.

287. Οὐλομένην,... Ce n'est pas le seul passage de l'*Odyssée* où Homère médise en forme de l'estomac. *Scholies* Q : συνήθως κακίζει τὴν γαστέρα, ὡς καὶ ἐν τούτοις· ἀλλ' ἕνεκ' οὐλομένης γαστρός (XV, 344)· ἀλλά με γαστὴρ ὀτρύνει κακοεργός (XVIII, 53-54)· οὔτ' ἄρ τι στυγερῇ ἐπὶ γαστέρι (VII, 216). D'autres ont fait de même. Euripide, cité par Clément d'Alexandrie : νικᾷ δὲ χρεία μὲν κακῶς τ' ὀλουμένη Γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά. Sénèque, *Brièveté de la vie*, XVIII : « Cum « ventre humano tibi negotium est; nec « rationem patitur, nec æquitate mitigatur, « nec ulla prece flectitur populus esuriens. »

288. Νῆες. D'après ce qui suit, il s'agit de la piraterie, et non du commerce légitime. Eustathe : πειρατικαὶ δηλαδὴ αὗται,... τὸ γὰρ ἑτέρως ναυτίλλεσθαι οὐκ ἂν εἴη ψεκτέον, κατὰ κοινωνίαν ἀνθρωπίνην ἐπινοηθέν.

289. Δυσμενέεσσι, aux ennemis, c'est-à-dire à tous ceux qui ne sont point des amis. Voyez les vers III, 72-74 et XIV, 85-87, et particulièrement les expressions κακὸν ἀλλοδαποῖσι φέροντες et οἵτ' ἐπὶ γαίης ἀλλοτρίης βῶσιν. Tout étranger était un ennemi, et pouvait être traité comme tel. En latin même *hospes* et *hostis* ont été primitivement synonymes. — Φέρουσαι. Ancienne variante : φυτεῦσαι, c'est-à-dire ὥστε φυτεῦσαι.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον· 290
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
θρέψε μέν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
ᾤχετο. Τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
αἶγας ἐπ' ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς· 295
δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων
ἡμιόνων τε βοῶν τε ἅλις κέχυτ', ὄφρ' ἂν ἄγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρήσοντες.

290. Ὣς οἱ μὲν.... Vers plusieurs fois répété. Voyez plus haut la note du vers 166.

291. Ἂν doit être joint à ἔσχεν : ἀνέσχε, dressa. Le chien a reconnu instantanément son maître. — Ici les enstatiques n'ont pas manqué de crier à l'invraisemblance : « Le maître n'est pas reconnaissable; le chien devrait être mort depuis longtemps. » Les lytiques répondaient que ce n'est point par le sens de la vue qu'Argus reconnaît son maître, et qu'un chien vit ou peut vivre plus de vingt ans. Didyme (*Scholies* V) : πῶς τὸν μεταμεμορφωμένον ἐπιγινώσκει; ὅτι παρὰ τοὺς ἀνθρώπους καὶ τὰ ἄλογα ζῶα μᾶλλον ἀντιλαμβάνεται, καὶ ἐκ τῆς ὀδμῆς αὐτὸν ἐπέγνω. ἀλλὰ μετὰ τοσαῦτα ἔτη πῶς ἔζη ὁ κύων; Ἀριστοτέλης φησὶ τέσσαρα καὶ εἴκοσι ζῆν ἔτη κύνα.

292. Ἄργος, apposition à κύων. Après avoir dit, *un chien*, le poëte nomme ce chien. Didyme (*Scholies* V) : ὄνομα κύριον τοῦ Ὀδυσσέως κυνός. Cette note est superflue pour nous; mais elle ne l'était pas pour les lecteurs anciens, quand on ne distinguait pas les lettres en majuscules et minuscules. — Ὀδυσσῆος ταλασίφρονος dépend de κύων.

293. Οὐδ' ἀπόνητο, mais ne tira point profit (de l'avoir élevé). — Δ(έ) est explicatif, et il équivaut à γάρ.

294. Πάροιθεν, auparavant, c'est-à-dire avant qu'il fût vieux. *Scholies* B : πρότερον πρὸ τοῦ γηράσαι. — Quelques anciens prenaient πάροιθεν comme adverbe de lieu, et entendaient par là le pays d'en face, le continent. Leur raison, c'est qu'il n'y avait point de lièvres dans l'île d'Ithaque. Mêmes *Scholies* : ἢ ἔμπροσθεν τῆς Ἰθάκης εἰς τὴν ἤπειρον. λαγωὸς γὰρ οὐ γίνεται ἐν Ἰθάκῃ, ὥστε δῆλον ὅτι εἰς τὴν ἤπειρον ἐκυνηγέτουν. Cette explication suppose que l'Ithaque d'Homère est la vraie Ithaque dans tous ses détails; mais cette supposition est inadmissible. Le poëte parle de lièvres parce qu'il s'agit de chasse et de gibier, sans s'inquiéter si ce qu'il dit manque ou non à la vérité locale. Le lièvre n'existe-t-il pas à peu près partout?

295. Πρόκας. Les anciens disputaient sur le sens propre du mot πρόξ. Aristarque en faisait un synonyme de ἔλαφος (cerf). D'autres entendaient par ce mot un chevreuil, d'autres un daim, d'autres un faon de biche. Les modernes ne sont pas plus d'accord que les anciens. Mais la question est sans importance aucune.

296. Τότε est dit par opposition à πάροιθεν, et il équivaut à νῦν (maintenant). — Ἀπόθεστος, relégué à l'écart : laissé là sans soins. Didyme (*Scholies* H) : ἀπόθητος, ἀνεπιμέλητος. — Ἀποιχομένοιο ἄνακτος. Ancienne variante, ἀποιχομένου Ὀδυσῆος.

297. Οἱ (pour lui) indique seulement que le chien en avait profité, comme si c'était un lit qu'on lui eût fait exprès. — Θυράων. Il s'agit de la porte de la cour. Voyez plus haut, vers 267, la note sur θύραι.

298. Ἡμιόνων et βοῶν se rapportent à κόπρῳ. — Ὄφρ(α), en attendant que. — Ἄγοιεν, sous-entendu κόπρον.

299. Τέμενος, le domaine cultivé : les terres de labour. Le mot τέμενος a d'ordinaire un sens religieux; ou, quand il désigne un domaine privé, il s'applique aux terrains de toute nature. Voyez l'*Iliade*,

Ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων. 300
Δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
ἆσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ' ἐρεείνετο μύθῳ· 305
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ.
Καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
ἢ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
ἦ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν

VI, 193-194. C'est pour cela qu'on lit ici, dans les *Scholies* B : καταχρηστικῶς δὲ τέμενος τὸ χωρίον. — Κοπρήσοντες, pour fumer. *Scholies* B : κοπρεύσοντες, κόπρον τῇ γῇ ἐπιβάλλοντες. La vulgate κοπρίσσοντες n'est probablement qu'une faute d'iotacisme, bien que rien n'empêche d'admettre les deux formes κοπρέω et κοπρίζω. Quant à la leçon d'Apollonius, κοπρίσαντες, elle serait absolument inexplicable.

300. Κυνοραιστέων. Les deux dernières syllabes du mot comptent pour une seule, comme s'il y avait κυνοραιστῶν. — Il ne faut pas confondre le κυνοραιστής, qui est un pou, avec la κυνάμυια ou κυνόμυια, qui est un insecte ailé. *Scholies* M et Q : ἔνιοι μὲν κυνομυιῶν, Ἀρίσταρχος δὲ τῶν κροτώνων. Eustathe : κυνοραισταὶ δι' ἑνὸς ῥῶ, κατά τε φύσιν καὶ διὰ μέτρον, οἱ τοὺς κύνας ῥαίοντες. ἐξ οὗ κατὰ διάλυσιν καὶ παραγωγὴν τὸ ῥαίζειν γίνεται, ἀφ' οὗ καὶ θυμοραϊστής (*Iliade*, XIII, 544; XVI, 414, etc.) ἀναλόγως τῷ κυνοραϊστής. λέγονται δὲ οὗτοι καὶ κρότωνες παρὰ τοῖς ὕστερον. Apollonius semble admettre indifféremment les deux explications : κυνοραιστέων· ἐπὶ τοῦ Ὀδυσσέως κυνὸς, ὃς ἐκαλεῖτο Ἄργος. τούτους δ' οἱ μὲν τοὺς κρότωνας, ἀπὸ τοῦ τοὺς κύνας ῥαίειν, ὅ ἐστι φθείρειν· οἱ δὲ τὰς λεγομένας κυναμυίας. τῶν ἅπαξ εἰρημένων. Mais c'est Aristote en personne qui a fourni la première explication, celle que préférait Aristarque. *Histoire des animaux*, V, xxv, 2 : ἐν δὲ τοῖς κυσὶν οἱ καλούμενοι γίγνονται κυνοραισταί. Le paragraphe où on lit cela est consacré aux diverses espèces de poux, et non pas aux insectes ailés. On le devinerait d'ailleurs, à l'expression γίγνονται, qui serait absurde, appliquée à des mouches. Mais Aristote ajoute aussitôt : πάντες δὲ οἱ φθεῖρες ἐν τοῖς ἔχουσιν ἐξ αὐτῶν γίγνονται τῶν ζώων. Peu importe que cette doctrine soit vraie ou non ; il nous suffit qu'on voie ce qu'étaient pour Aristote les κυνοραϊσταί d'Homère.

302. Κάββαλεν. Bekker, Ameis et La Roche, κάμβαλεν. Voyez la note du vers VI, 472.

303. Οὐκέτ(ι).... δυνήσατο, il ne put plus : il manqua de force pour. Ce pauvre chien est expirant, et va même rendre son dernier souffle.

304. Ὁ, lui : Ulysse. — Νόσφιν ἰδών, ayant regardé de côté : ayant détourné la tête.

305. Ῥεῖα λαθὼν Εὔμαιον. Bothe : « Facile Ulysses lacrimans latuit Eumæum, « virum simplicem et bonum, quales minus « alios observant quam maligni et callidi » — Ἐρεείνετο. — Ancienne variante, ἐρεείνατο.

306. Θαῦμα (chose étrange) équivaut à θαυμάζω ὅτι, je m'étonne que. Ulysse est choqué de l'abandon déplorable où on laisse le chien.

307. Δέμας. Voyez, X, 240, la note sur ce mot.

308. Ἦ, *vulgo* εἰ, mauvaise correction byzantine. L'alternative *si ou si* est toujours marquée, chez Homère, par la répétition de ἤ ou ἠέ. — Ἐπί, outre.

309. Ἦ. Bekker, Ameis et La Roche, ἢ, orthographe d'Hérodien. — Αὔτως, sousentendu ἔσκε, équivaut à τοιοῦτος ἦν. Si l'on met une virgule après αὔτως, il faut

γίγνοντ', ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες. 310
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
Εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν. 315
Οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·
νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης

expliquer ce mot en lui-même; et c'est ce que faisaient quelques anciens. *Scholies* B : ἁπλῶς καὶ ὡς ἔτυχε. Ulysse dirait alors : ou bien si c'était un chien quelconque, un chien sans mérite. Le sens reste absolument le même; car cette idée est nécessairement comprise dans τοιοῦτος οἷοί τε γίγνοντ(αι) κύνες τραπεζῆες ἀνδρῶν, puisqu'on n'aime ces chiens-là que par caprice.

310. Ἀγλαΐης, selon quelques anciens, se rapporterait aux chiens. *Scholies* V : καλλονῆς. Il vaut mieux le rapporter aux maîtres. C'est un genre de luxe et d'ostentation. *Scholies* B et Q : κόσμου χάριν ἢ καλλωπισμοῦ. Voyez plus haut, vers 244, la note sur ἀγλαΐας. — Δ(έ) est explicatif, et il équivaut à γάρ.

312. Ἀνδρός, sous-entendu ἦν : appartenait au héros. Bothe : « ἀνδρός dixit « κατ' ἐξοχήν, hoc est, viri fortis, viri « egregii, Ulyssis. » — Quelques éditeurs ne mettent, après θανόντος, ni point ni virgule, et font une seule phrase des vers 312-315. Ils construisent : καὶ λίην θηήσαιό κε αἶψα..., εἰ ὅδε κύων ἀνδρός γε θανόντος εἴη τοιόσδ(ε).... οἷον Ὀδυσσεύς.... La ponctuation ordinaire donne quelque chose de plus vif et de plus net.

314. Οἷόν μιν.... On a vu, XVI, 289, un vers presque identique.

315. Ταχυτῆτα καὶ αλκήν, sous-entendu αὐτοῦ, c'est-à-dire τοῦ κυνός.

316. Βένθεσιν, comme ἐν βένθεσι. Anciennes variantes, ἔντοθεν et τάρφεσιν. *Scholies* M : βαθέσι, πυκνώμασι.

317. Κνώδαλον, l'animal sauvage.—Suivant Aristarque, le mot κνώδαλον signifie proprement un monstre marin. *Scholies* de Nicandre (*Thériaques*, vers 760) : οἱ περὶ Ἀρίσταρχόν φασι κυρίως τὰ ἐν τῇ θαλάσσῃ. Ὅμηρος δὲ ἐπὶ τοῦ χερσαίου. Didyme (*Scholies* H et V) : κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος· νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. Eustathe : κνώδαλον δὲ νῦν τὸ χερσαῖον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι. ὅτι δὲ καὶ ἐπὶ θαλασσίου θηρίου, κνώσσοντος ἐν ἁλί, λέγεται ἡ λέξις. Il est absurde de supposer à un même mot deux étymologies aussi différentes. — Le mot κνώδαλον paraît être pour κινώδαλον, et se rattacher à κινέω, ou, si l'on veut, à la racine qui contient l'idée de mouvement : κι. C'est une épithète qui s'applique à tous les animaux non domestiques, et qui est devenue leur nom commun. C'est l'antithèse de πρόβατον, l'animal qui obéit à l'homme et marche devant lui. Le κνώδαλον est proprement l'animal en liberté, maître de lui-même et courant à sa guise. — Δίοιτο, de δίεμαι dans le sens actif. *Scholies* B : διώξειε.—Ancienne variante, ἴδοιτο, leçon évidemment défectueuse. Le chien n'a pas besoin de voir l'animal pour le suivre et le chasser. Eustathe : τὸ δὲ ὅττι ἴδοιτο κρεῖττόν φασι γράφειν δίοιτο.—Καὶ.... γάρ, et en effet. — Ἴχνεσι.... περιήδη, il connaissait supérieurement par les traces, c'est-à-dire il ne perdait jamais la piste de la bête. *Scholies* B : περισσῶς ᾔδη τὴν ἄγραν αὐτοῦ δηλονότι.

318. Ἔχεται κακότητι, il est possédé par la misère : il est en proie aux infirmités. Voyez, VIII, 182, νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι. — Οἱ, le datif dans le sens du génitif, comme s'il y avait αὐτοῦ. C'est l'explication antique. Les modernes rapportent οἱ à ὤλετο, ou même le regardent comme redondant. Il n'est pas

ὤλετο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσιν.
Δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες, 320
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
Ὣς εἰπὼν εἰσῆλθε δόμους εὐναιετάοντας·
βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς. 325
Ἄργον δ' αὖ κατὰ μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,
αὐτίκ' ἰδόντ' Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.

traduit dans l'Homère-Didot. — Ἄλλοθι πάτρης, *seorsum a patria*, loin de (sa) patrie. Ancienne variante, ἄλλοθι γαίης (dans une contrée étrangère).

319. Τόν, lui : le chien. — Ἀκηδέες, paresseuses. Aristarque (*Scholies* H) : (ἡ διπλῆ, ὅτι) τὸ ἀκηδέες ἀντὶ τοῦ ἀμελεῖς, φροντίδα οὐ τιθέμεναι. Le mot ἀκηδής se prend quelquefois en bonne part, et il a plusieurs significations fort différentes les unes des autres. De là cette note en apparence superflue.

322. Ἀρετῆς, d'après ce qui précède, signifie simplement l'activité, le goût du travail. Autant l'homme est actif quand il s'agit de son intérêt personnel, autant il est insouciant quand il s'agit de l'intérêt d'un maître. Didyme (*Scholies* Q et V) : ἀρετῆς· τῆς ἑκουσίου πρὸς τὰ ἔργα ῥοπῆς. *Scholies* B : ἀρετήν φησι τὴν ἀγαθὴν ἐργασίαν τὴν μετὰ προαιρέσεως γινομένην. οἱ δὲ δοῦλοι, κἂν ἀγαθόν τι πράξωσι τοῦ δεσπότου κελεύσαντος, ἧττον ἐπαινετοί εἰσι. — La première phrase de cette note est probablement une citation textuelle d'Aristarque, et j'aurais pu écrire en tête, ἡ διπλῆ, ὅτι. Mais on n'est pas absolument sûr qu'Aristarque ait lu γάρ τ' ἀρετῆς, et non γάρ τε νόου. La Roche : « Id vero negari non potest, Platonem et « Athenæum in Homero suo scriptum re- « perisse γάρ τε νόου ἀπαμείρεται.... « ἀνδρῶν, οὓς ἂν δή. Librorum scripturam « Aristarcheam fuisse colligo ex silentio « scholiorum. » — La vulgate est bien préférable à la leçon de Platon et d'Athénée; car elle a plus de nerf et de précision : νόου est un terme vague; ἀπομείρεται est faible et tautologique après ἥμισυ, et ἀνέρος εὖτ' ἄν μιν a un autre mouvement que ἀνδρῶν, οὓς ἂν δή. Peut-être Platon a-t-il cité de mémoire, et Athénée s'est-il borné à transcrire Platon, sans recourir au texte même d'Homère. La citation du passage d'Homère est au livre VI (p. 777) des *Lois* et au livre VI (18, p. 264) des *Savants à table*.

323. Κατά doit être joint à ἕλῃσιν : καθέλῃσι, καθέλῃ.

326. Κατὰ.... ἔλαβεν, saisit.

327. Αὐτίκ' ἰδόντ(α), aussitôt ayant vu : dès qu'il eut vu. — Ἐεικοστῷ ἐνιαυτῷ, dans la vingtième année : au bout de presque vingt ans écoulés. Voyez plus haut la note du vers 291. — Dugas Montbel s'étonne de la haute admiration qu'excite généralement l'épisode de la mort d'Argus, et il penche à n'y voir qu'une interpolation. Il affirme que cet épisode était contesté chez les anciens; mais c'est une affirmation gratuite, car il ne cite que la chicane sur la métamorphose d'Ulysse et la longévité du chien, chicane qui avait pour but de déprécier le génie d'Homère, et nullement de contester qu'il fût l'auteur du récit. Bothe, après avoir cité l'opinion de Dugas Montbel, fait les réflexions suivantes : « Vix tamen credi- « derim fuisse qui omnem hunc locum in- « ducerent, venustissimum præter versus « 296-300, quos uncinis inclusi, quippe « fœdos et ταυτολόγους, si contenderis « cum 306, 318 et 319. Quibus sordibus « purgatis, vide quam apte canis Argi, olim « venatici, agilitas opponatur torpori se- « nectutis, quo jam impeditur quominus « exsurgat obviamque eat domino! Ipsum « illud δὴ τότε ingeminatum sine emphasi « manum prodit imitatoris inelegantis, « qui hunc pannum assuere conatus est,

Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδὴς
ἐρχόμενον κατὰ δῶμα συβώτην· ὦκα δ' ἔπειτα
νεῦσ' ἐπὶ οἷ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον 330
κείμενον, ἔνθα τε δαιτρὸς ἐφίζεσκε κρέα πολλὰ
δαιόμενος μνηστῆρσι δόμον κάτα δαινυμένοισιν·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον· ἔνθα δ' ἄρ' αὐτὸς ἐφέζετο· τῷ δ' ἄρα κῆρυξ
μοῖραν ἑλὼν προτίθει κανέου τ' ἐκ σῖτον ἀείρας. 335
Ἀγχίμολον δὲ μετ' αὐτὸν ἐδύσετο δώματ' Ὀδυσσεύς,
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἷζε δ' ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,

« Homeri verbum gravissimum νῦν δ' ἔχε« ται κακότητι loquacitate fastidiosa πα« ρaφράζων. » — Les cinq vers condamnés par Bothe sont précisément ceux sur lesquels nous avons le plus de témoignages antiques. Voyez plus haut les notes sur ce passage. Voyez aussi, dans l'*Iliade*, la note du vers XVI, 747 sur τήθεα, où le vers 299 est textuellement cité dans une observation d'Aristarque. — Si l'on peut reprocher quelque chose au passage rejeté par Bothe, ce n'est pas de manquer du caractère homérique, ce serait plutôt d'être homérique à l'excès. Mais cet excès n'en est un que pour nous, déshabitués du naïf et de la vérité simple. Le poëte n'est pas moins digne de lui-même dans ce tableau que dans tout le reste de l'épisode. C'est Pope qui a raison quand il dit de l'épisode entier, et sans réserve aucune : « Je ne vois rien de plus beau ni de plus touchant dans tout le poëme. »

328. Τὸν δὲ πολὺ.... Appropriation du vers I, 113.

329. Συβώτην est une apposition explicative à τόν.

330. Ἐπὶ οἷ καλέσας, sous-entendu αὐτόν : l'ayant appelé près de lui. Quelques anciens écrivaient ἐπί οἱ, joignant la préposition à νεῦσ(ε), et rapportant le pronom à Eumée. *Scholies* B : τὸ δὲ ἑξῆς, ἐπένευσεν αὐτῷ ἐξ ὀνόματος καλέσας. Mais le vers 342, où il y a ἐπὶ οἷ καλέσας, et où l'on ne peut écrire ἐπί οἱ, constate la véritable leçon. — Ὁ, lui : Eumée.

331. Ἔνθα τε, là où : sur lequel. *Scholies* B : ἐν ᾧ δίφρῳ ὁ μάγειρος ἐκαθέζετο κρέα πολλὰ δαιόμενος μνηστῆρσι. — Ἐφίζεσκε, avait coutume de s'asseoir. La note des *Scholies* B ne donne point l'équivalent du fréquentatif ; mais il est évident, après κείμενον, que l'écuyer tranchant n'est point en ce moment-ci sur son siége, et que ἐκαθέζετο δαιόμενος signifie s'asseyait quand il faisait les parts.

333. Τὸν, lui : ce siége.

334. Ἀντίον, vis-à-vis (de Télémaque). — Ἔνθα δ(έ), et là : et sur ce siége. Eustathe : καθάπερ δὲ Μελάνθιος καθῖζεν ἀντίος Εὐρυμάχου (vers 257),... οὕτω καὶ νῦν Εὔμαιος τὸν δίφρον τοῦ δαιτροῦ κατέθηκε φέρων ἀντίον, νεύσαντος καὶ καλέσαντος Τηλεμάχου, ἔνθα ἐφέζετο Εὔμαιος.

335. Προτίθει, *vulgo* ἐτίθει. Voyez le vers I, 142, et, dans l'*Iliade*, le vers XXIV, 409. Didyme (*Scholies* V) : προτίθει· παρετίθει. Cette explication rappelle qu'Homère dit ordinairement παρέθηκεν ἀείρας.

336. Ἀγχίμολον, adverbe de temps : bientôt.

337-338. Πτωχῷ λευγαλέῳ.... Voyez plus haut les vers 202-203 et les notes sur ces deux vers.

339. Μελίνου, fait de bois de frêne. — La forme ordinaire de cet adjectif, en poésie, est μείλινος. Mais cela tient à ce qu'il ne sert guère que d'épithète au mot ἔγχος, et à ce qu'il se trouve au cinquième pied du vers. Le substantif est μελίη ou

κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων 340
ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
Τηλέμαχος δ' ἐπὶ οἷ καλέσας προσέειπε συβώτην,
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
καὶ κρέας, ὥς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων, αὐτόν τε κέλευε 345
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.
Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει 350
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.

μελία. Didyme (*Scholies* H) : ἀπὸ μελίας ξύλου γινομένου. μελία δὲ εἶδος δένδρου.

340. Κυπαρισσίνῳ, fait de bois de cyprès. Didyme (*Scholies* H) : ἀπὸ κυπαρισσίνου ξύλου γενομένῳ.

341. Ξέσσεν.... Voyez le vers V, 245 et les notes sur ce vers.

342. Ἐπὶ οἷ καλέσας. Voyez plus haut la note du vers 330. — Eumée était vis-à-vis de Télémaque; Télémaque lui dit de venir à côté de lui, pour pouvoir lui parler sans être entendu des prétendants.

343. Οὖλον, tout entier. Didyme (*Scholies* V) : ὅλον κατὰ ἔκλειψιν τοῦ υ. Eustathe : οὖλον, τὸν ὅλον καὶ ἀκέραιον.

344. Καὶ κρέας. C'est sur le plat, et non plus dans la corbeille, qu'il prend de la viande. Sous-entendez, ἐκ πίνακος. — Ὡς, comme, c'est-à-dire autant que. Aristarque (*Scholies* B) : (ἡ διπλῆ ὅτι) νῦν τὸ ὡς ἀντὶ τοῦ ὅσον αἱ χεῖρες αὐτοῦ περιεβάλλοντο, ἐχάνδανον. — On voit ici, par un nouvel exemple, le datif οἱ expliqué dans le sens du génitif. Les modernes le rapportent à ἐχάνδανον, et non à χεῖρες. — Ἀμφιβάλοντι, ayant empoigné : à la poignée. Ancienne variante, ἀμφιβαλόντε, se rapportant à χεῖρες, lequel équivaut à χεῖρε.

346. Αἰτίζειν, de mendier : d'aller demander de quoi remplir sa besace. Le verbe, comme au vers 228, est pris dans un sens absolu. Quelques-uns lui donnent pour complément πάντας μνηστῆρας, sans doute à cause de l'exemple ἀνέρας αἰτίζων, vers 502. Mais ici il est tout naturel de rapporter l'accusatif à ἐποιχόμενον. Nous avons vu en effet, I, 324, μνηστῆρας ἐπῴχετο. — Ἐποιχόμενον, parcourant : en s'adressant à.

347. Δ(έ) est explicatif, et il équivaut à γάρ. — Οὐκ ἀγαθὴ.... παρεῖναι, sous-entendu ἐστί : n'est pas bonne à se trouver chez. C'est comme s'il y avait : οὐκ ἀγαθόν ἐστιν αἰδῶ παρεῖναι. On a vu, IV, 397, une construction féminine du même genre; et il y a dans l'*Iliade* plusieurs exemples analogues (I, 546 et 589; X, 402; XVIII, 268 ; XX, 131 et 265; XXI, 482). — Au lieu de παρεῖναι, quelques anciens lisaient, comme au vers 352, προΐκτῃ. Mais παρεῖναι est constaté par le ἔμμεναι du vers 352, et même par la fausse explication du vers dans les *Scholies* B : εἰς τὸ παρεῖναι κεχρημένῳ ἀνδρὶ οὐκ ἔστιν ἐπωφελὴς ἡ αἰδώς. Hésiode dit, *OEuvres et Jours*, vers 315 : αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει. On rapproche ce vers de celui d'Homère; mais ils n'ont de commun que des mots. Les deux pensées sont entièrement différentes.

348. Τὸν μῦθον, cette parole : l'ordre de son maître.

349. Ἀγχοῦ.... Répétition du vers IV, 25.

350-352. Καί σε κελεύει.... Répétition, *mutatis mutandis*, des vers 345-347. Voyez les notes sur ce passage.

352. Ἀνδρὶ προΐκτῃ, comme plus haut,

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι·
καί οἱ πάντα γένοιτο, ὅσα φρεσὶν ᾗσι μενοινᾷ. 355
Ἦ ῥα, καὶ ἀμφοτέρησιν ἐδέξατο, καὶ κατέθηκεν
αὖθι ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
Ἤσθιε δ' ἕως ὅτ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν·
εὖθ' ὁ δεδειπνήκειν, ὁ δ' ἐπαύετο θεῖος ἀοιδός·
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'· αὐτὰρ Ἀθήνη, 360
ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα

vers 347, κεχρημένῳ ἀνδρί. — Le mot προΐκτης est employé substantivement plus bas, vers 449. C'est un synonyme de πτωχός. Apollonius : προΐκτης· προσαίτης ἀπὸ τοῦ προῖκα βούλεσθαι λαμβάνειν, τουτέστι δωρεάν· ἢ ἀπὸ τοῦ προϊκνεῖσθαι καὶ δέεσθαι, οἷον προαπαντᾷν. Ceux qui admettaient la première étymologie interaspiraient avec l'esprit doux; les autres interaspiraient avec l'esprit rude. *Scholies* Q : ἴκτης ψιλωτέον, παρὰ γὰρ τὸ παραβάλλειν τὴν χεῖρα καὶ αἰτεῖν δωρεάν· ἢ ὁ πρὸ τοῦ αἰτεῖν ἱκετεύων, εἰ δασύνεται. C'est la dernière explication qui est la plus probable. *Scholies* V : μεταίτῃ παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. *Scholies* H : παρὰ τὸ προϊκετεύειν. — Quelques anciens donnaient le vers 352 absolument semblable au vers 347 : αἰδὼς δ' οὐκ ἀγαθὴ.... Mais il vaut mieux qu'Eumée n'ait pas l'air de parler pour son propre compte.

354. Τηλέμαχόν μοι.... εἶναι, fais, je t'en prie, que Télémaque soit. Didyme (*Scholies* V) : ἀπὸ κοινοῦ, ποίησον. C'est comme s'il y avait εἴη μοι Τηλέμαχος. Mais le souhait, avec l'infinitif, est bien plus énergique. On y sent l'action du dieu.

355. Γένοιτο, ὅσα, *vulgo* γένοιθ' ὅσσα, leçon qui paraît n'être qu'une correction byzantine.

356. Ἐδέξατο, sous-entendu τὰ ἀπὸ Τηλεμάχου.

357. Ἐπὶ πήρης. Sa besace est aplatie par terre, et elle lui sert de table. Didyme (*Scholies* B, Q et V) : ἐπάνω τῆς πήρας. ἁπλώσας γὰρ τὴν πήραν ἀντὶ τραπέζης, ἐπάνω ἔθηκεν.

358. Ἕως, monosyllabe par synizèse. — Ὅτ(ε). C'est le seul passage d'Homère où ὅτε soit joint à ἕως. — Quelques anciens lisaient ὡς au lieu de ἕως. Mais cet ὡς était redondant, ce qui n'est pas conforme à la diction homérique. Dindorf écrit ὅ (τε) en deux mots, c'est-à-dire ὁ, l'article, ou plutôt l'épithète d'honneur de l'aède. Cette correction n'a pas fait fortune. Bothe n'avait pas mieux réussi avec la sienne : ἦσθε δ' ἕως ὅ γ' ἀοιδός. Ameis et La Roche maintiennent la vulgate.

359. Ὁ, lui : Ulysse. — Δεδειπνήκειν, avait fini de manger. Didyme (*Scholies* H et Q) : οὕτω, δεδειπνήκειν, ἀντὶ τοῦ δεδειπνήκει. ὡς τὸ ἤσκειν εἴρια καλά (*Iliade*, III, 388). Cette observation prouve que la terminaison ειν, à la troisième personne du plus-que-parfait actif, était une exception, et non pas, comme l'affirment Bekker et d'autres, l'orthographe ordinaire. C'est le ν éphelcystique introduit devant une voyelle, et rien de plus, là où il n'a pas été maintenu par l'usage. — Le vers 359 était rejeté par quelques anciens. La raison de cette athétèse, c'est qu'Homère a l'air de dire que l'aède se tait *parce que* le mendiant a fini de manger. Aristonicus, *Iliade*, XXII, 329 : διὰ τὸ ὅμοιον ἀθετεῖται κἀκεῖνο· εὖθ' ὁ δεδειπνήκειν,... L'expression διὰ τὸ ὅμοιον signifie : *parce qu'il prête à l'aède un sentiment qu'il n'a pu avoir*. Voyez la note sur l'athétèse du vers de l'*Iliade*. Mais le poëte ne prête rien ici à l'aède. Il constate seulement un fait, la cessation du chant au moment où Ulysse termine son repas. — Ὁ ... θεῖος ἀοιδός, l'illustre (et) divin aède. Il s'agit de Phémius. — Δ(έ) équivaut à τότε : alors; à ce moment-là même — Ἐπαύετο, cessait : finissait de chanter.

ὤτρυν᾽, ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
γνοίη θ᾽, οἵτινές εἰσιν ἐναίσιμοι, οἵ τ᾽ ἀθέμιστοι·
ἀλλ᾽ οὐδ᾽ ὥς τιν᾽ ἔμελλ᾽ ἀπαλεξήσειν κακότητος.
Βῆ δ᾽ ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον, 365
πάντοσε χεῖρ᾽ ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
Οἱ δ᾽ ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
ἀλλήλους τ᾽ εἴροντο, τίς εἴη καὶ πόθεν ἔλθοι.
Τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 370
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
Ἦ τοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
αὐτὸν δ᾽ οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.
Ὣς ἔφατ᾽· Ἀντίνοος δ᾽ ἔπεσιν νείκεσσε συβώτην·
Ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε 375
ἤγαγες; Ἦ οὐχ ἅλις ἡμὶν ἀλήμονές εἰσι καὶ ἄλλοι,

362. Πύρνα, des morceaux de pain. Voyez, XV, 312, la note sur πύρνον. *Scholies* B : πύρνα τοὺς πύρνους, ὡς κύκλα τοὺς κύκλους.

364. Ἔμελλ(ε) a pour sujet Ἀθήνη sous-entendu. Le vers ne signifie pas que la déesse eût l'intention de ne sauver aucun des prétendants. Le poëte constate seulement le fait que tous sont destinés à périr. — Ἀπαλεξήσειν κακότητος. *Scholies* Q : κωλύσει καὶ ἀπολήξει τοῦ κακοῦ. πάντες γὰρ ἦσαν μοχθηροί.

365. Ἐνδέξια, en commençant par la droite : en allant de droite à gauche. Didyme (*Scholies* V) : ἀπὸ τοῦ δεξίου μέρους. C'est ainsi que faisaient les échansons. Voyez le vers de l'*Iliade*, I, 597 et la note sur ce vers. La droite était le côté des bons présages. — Φῶτα ἕκαστον. Le verbe αἰτέω se construit avec deux accusatifs. Voyez l'*Iliade*, XXII, 295. Ici celui de la chose (πύρνα) est sous-entendu.

366. Ὡς εἰ πτωχὸς πάλαι εἴη, comme s'il était mendiant depuis longues années, c'est-à-dire en mendiant consommé. *Scholies* B : ὡς μεμελετηκὼς ἐκ πολλοῦ τὴν πτωχείαν· ὡς εἰ πτωχὸς ὑπῆρχεν ἐκ πολλοῦ.

368. Ἀλλήλους τ᾽ εἴροντο, et ils se demandaient les uns aux autres.

369. Αἰπόλος αἰγῶν. On a vu ce pléonasme au vers 247. Ici il est noté dans les *Scholies* H : περισσὸν τὸ αἰγῶν.

372. Ἦ τοι en deux mots, *vulgo* ἤτοι en un seul. C'est la même chose au fond; mais ἦ τοι, composé de deux synonymes, a plus d'énergie, et d'ailleurs correspond mieux à ἦ γάρ. — Bothe croit voir une intention poétique dans la forme particulière de langage prêtée au chevrier : « Vide infantiam hominis rudis, ut miles Terentianus, *Eunuch.*, III, 1, 20 : Invidere omnes mihi.... Illi invidere misere. »

373. Γένος, quant à la race.

375. Ὦ ἀρίγνωτε. Ancienne variante, ὠρίγνωτε. Mais il est inutile d'effectuer la synizèse. Il suffit qu'on la fasse remarquer. — C'est à tort que certains modernes comptent comme brève la deuxième syllabe de ἀρίγνωτε. Elle est longue par position; car elle est en réalité une finale, et γν fait position. — Τόνδε est dit avec un accent de mépris : cet individu.

376. Ἦ οὐχ, synizèse, comme au vers précédent ὦ-ἀ. — Ἡμίν. Bekker et d'autres, ἧμιν. C'est l'orthographe d'Hérodien. — Ἀλήμονες.... καὶ ἄλλοι. D'après ceci il n'y a plus lieu de s'étonner qu'un malheureux déguenillé ait pu pénétrer dans la salle des prétendants. Ses pareils y avaient

πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
Ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος
ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καί ποθι τόνδε κάλεσσας;
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα· 380
Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις·
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλον γ', εἰ μὴ τῶν οἳ δημιοεργοὶ ἔασιν,
μάντιν ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπῃσιν ἀείδων; 385
Οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι τρύξοντα ἓ αὐτόν.
Ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε

habituellement accès. Didyme (*Scholies* H) : προοικονομεῖ τὸ καὶ ἄλλων εἰωθέναι μεταστάσεις εἶναι ὡς αὐτούς, ἵνα μὴ ξενισθῶσι περὶ Ὀδυσσέως.—Le mot ἀλήμων est un synonyme de ἀλήτης. On retrouvera ἀλήμονες, XIX, 74.

377. Πτωχοί.... Voyez plus haut le vers 220 et les notes sur ce vers.

378. Ἦ ὄνοσαι, est-ce que tu comptes pour rien? trouves-tu donc que ce ne soit point assez? Antinoüs raille. Didyme (*Scholies* H) : εἰρωνεύεται πρὸς τὸ τοῦ Εὐμαίου φιλοδέσποτον. *Scholies* B : ὄνοσαι· ἐκφαυλίζεις, εὐκαταφρόνητον καὶ τὸ μηδὲν νομίζεις. — Quelques anciens rapportaient ὄνοσαι à ὀνίνημι, et expliquaient : tu fais donc une bonne affaire! *Scholies* V : νῦν ἀντὶ τοῦ ὠφελῇ. Mais ὄνομαι est un verbe fréquent chez Homère; et c'est tout gratuitement qu'on recourait à ὀνίνημι. Voyez la note sur le vers V, 379.

379. Ἀγειρόμενοι se rapporte aux vagabonds, aux ἀλήμονες. — Σὺ δέ équivaut à ἐπειδὴ σύ, si l'on subordonne la phrase au lieu de la laisser juxtaposée. — Καὶ.... τόνδε, cet individu encore : un pareil convive en plus. — Ποθι, de quelque part : je ne sais d'où. Didyme (*Scholies* V) : ποθέν. La vulgate ποτί ou προτί s'expliquait par *insuper* (de surcroît), et ne faisait que fortifier καί. Cette leçon n'est qu'une ancienne faute de copiste. *Scholies* H : καὶ προτί· γρ. καί ποθι. Mêmes *Scholies* : ἐγκλιτικὸν τὸ ποθι.

381. Καλά, adverbe : bien. — Κα comme καίπερ : encore que.

382. Ξεῖνον, un étranger. *Scholies* B : ξεῖνον νῦν ἀλλότριον.

383. Δημιοεργοί, des hommes travaillant pour le public. *Scholies* B et Q : χειροτέχναι, δημοσίαν παρέχοντες τὴν ἑαυτῶν τέχνην.

384. Ἰητῆρα κακῶν, un guérisseur de maux : un médecin. — Les accusatifs μάντιν et ἰητῆρα, ainsi que plus loin τέκτονα et ἀοιδόν, sont des appositions explicatives à ξεῖνον. *Scholies* H : τίς ἀλλότριον ἄνδρα καλεῖ, εἰ μὴ μάντιν ἢ ἰατρόν, ἢ τέκτονα, ἢ καὶ ἀοιδόν;

386. Κλητοί, sous-entendu εἰσί : son ceux qu'on invite. — Βροτῶν (d'entre le mortels) se rapporte à οὗτοι.

387. Τρύξοντα ἓ αὐτόν, devant l'épuiser lui-même : qui serait pour son hôte une cause de ruine. Voyez, I, 248, τρύχουσι δὲ οἶκον. Le verbe τρύχω signifi proprement frotter, user en frottant. Les anciens lui donnaient aussi un sens moral. *Scholies* B et Q : καταπονήσαντα. Mais l'exemple que nous venons de citer prouve qu'il s'agit de quelque chose de plus qu'un désagrément.

389. Πέρι, adverbe : surtout. — Ameis et La Roche écrivent περί, mais l'entendent adverbialement. C'est l'orthographe d'Hérodien, lequel expliquait probablement par une ellipse, comme s'il y avait περὶ πάντων ainsi qu'au vers précédent.

οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια 390
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους. 395
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.
Δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε· 400
μήτε τι μητέρ' ἐμὴν ἅζευ τόγε μήτε τιν' ἄλλον

390. Εἷως, tant que.

391. Ζώει ἐνὶ μεγάροις. Eumée ne désespérerait que le jour où Pénélope quitterait le palais pour suivre un des prétendants. Didyme (*Scholies* H) : ἐν τοῖς Ὀδυσσέως οἴκοις, οὐκ ἄλλῳ γαμηθεῖσα. La présence de Télémaque achève de lui donner courage, et de l'armer d'une force à tout braver. — Payne Knight réduit aux deux vers 381-382 tout le discours d'Eumée, et Dugas Montbel approuve la suppression du restant. Cependant les raisons alléguées par l'éditeur anglais sont bien faibles. La principale, c'est que la phrase 382-385 manque de netteté. Les autres sont de pures chimères : que δημιοεργός est un mot postérieur aux temps homériques; qu'il faudrait Ϝιητῆρα, et que μάντιν ἢ ne peut être un dactyle; que εἷς (tu es) n'appartient point à la diction d'Homère. — J'ajoute que les vers 383-384 sont cités au troisième livre de la *République* de Platon, et que le discours tout entier est dans le caractère du poëte et digne de lui.

393. Σίγα. Ancienne variante, ἄττα. — Μοι, comme *moi* dans *prends*-moi *le bon parti*. On l'appelle explétif; il est plutôt expressif : *je t'en prie; si tu m'en crois*, ou tout autre phrase analogue. — Τοῦτον, en mauvaise part : à ce misérable. Voyez la note du vers II, 74. — Πολλ(ά) adverbe : longuement.

394. Δ(έ) est explicatif, et il équivaut à γάρ.

395. Ἐποτρύνει, il excite, sous-entendu κακῶς ἐρεθιζέμεν.. . Nous dirions : à faire comme lui. — Ἄλλους, les autres (prétendants).

397. Ἦ μευ καλά.... Télémaque parle ironiquement. Construisez : ἦ κήδεαί μευ καλὰ, ὡς πατὴρ (κήδεται) υἷος. — Καλά adverbe : parfaitement. — Υἷος. Ancienne variante, υἱοῦ, la forme vulgaire.

398. Τὸν ξεῖνον est le complément de δίεσθαι, dont le sujet est ἐμέ sous-entendu. — Δίεσθαι dans le sens actif : chasser. *Scholies* B : διῶξαι, ἀπὸ τοῦ δίημι. Hérodien (*Scholies* H) : προπαροξυτόνως ἀπὸ τοῦ δίημι. οἶδε δὲ τὸ δίω καὶ διῶ καὶ δίημι.

399. Μύθῳ ἀναγκαίῳ se rapporte au verbe δίεσθαι. Voyez l'exemple XX, 343-344. — Au lieu de ἀναγκαίῳ, on lit, dans les *Scholies* V, ἀναγκαίως, avec la glose ἀναγκαστικῶς. L'adverbe ne vaut pas l'adjectif. Ce n'est probablement qu'une erreur de copiste causée par l'iota adscrit. Didyme a dû donner l'adjectif; et l'on devrait lire : ἀναγκαίῳ· ἀναγκαστικῷ. — Τοῦτο, cela : ce que tu demandes. — Θεός. Il s'agit du dieu protecteur des hôtes, du Ζεὺς ξείνιος.

400. Οἱ, à lui : à l'étranger. — Ἑλών, ayant pris : en puisant dans nos vivres. — Οὔ τοι φθονέω, je ne te refuse point : je trouve bon que tu le fasses.

401. Μήτε τι, *vulgo* μήτ' οὖν. — Τόγε, quant à cela : pour cette libéralité. Didyme (*Scholies* H) : μὴ ἐντρέπου εἰς τοῦτο τὴν ἐμὴν μητέρα.

δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλῳ.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειϐόμενος προσέειπεν· 405
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες.
Εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὣς ἄρ' ἔφη, καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζης
κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων. 410
Οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς
αὖτις ἐπ' οὐδὸν ἰὼν προικὸς γεύσασθαι Ἀχαιῶν·
στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπεν·
Δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν 415

402. Οἵ, sous-entendu εἰσί.

403. Ἀλλ' οὔ τοι.... Sauf ἀλλ' οὐ au lieu de αἰεί, c'est le vers XIII, 330.

404. Βούλεαι, tu préfères. Voyez la note du vers III, 232.

405. Ἀπαμειϐόμενος προσέειπεν. Ancienne variante, ἀπαμείϐετο, φώνησέν τε, leçon adoptée par Ameis.

406. Τηλέμαχ' ὑψαγόρη,... Répétition du vers II, 85.

407. Τόσσον, autant : avec autant de libéralité que moi. Antinoüs parle ironiquement. Didyme (*Scholies* B et Q) : δοκεῖ μὲν λέγειν ὅτι, εἰ πάντες αὐτῷ τοσοῦτον παράσχοιεν ὅσον ἐγὼ, μένοι ἂν πόρρω τῆς σῆς οἰκίας ἔχων ἐφόδια ἐπὶ τρεῖς μῆνας. τὸ δὲ ἀληθὲς βούλεται εἰπεῖν ὅτι τρεῖς μῆνας μένοι πόρρω τῆς οἰκίας ὀδυνώμενος, εἰ τοσαύτας παρὰ τῶν μνηστήρων λάϐοι πληγὰς ὅσας παρ' ἐμοῦ. τὸ δὲ Τηλέμαχ' ὑψαγόρη,... ἀντὶ τοῦ, διὰ τί μοι ὠνείδισας ἀμεταδοσίαν, καίτοι προαίρεσιν ἔχοντι παρασχεῖν; εἰ γὰρ παρὰ τῶν ἄλλων τοσοῦτον λάϐοι, ἀρκέσει αὐτῷ καὶ εἰς τρεῖς μῆνας τὰ διδόμενα. *Scholies* B : τόσσον κακὸν, ὅσον ἐγὼ δίδωμι· ἢ ἐν εἰρωνείᾳ, τόσσον ἀγαθόν.

408. Ἀπόπροθεν, à distance : loin d'ici. On serait débarrassé de lui pour tout ce temps. Didyme (*Scholies* V) : οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προέλθοι αἰτήσων. — Οἶκος, la maison : le toit sous lequel il couche. — Ἐρύκοι. *Scholies* H : ἤτοι διὰ τὴν πληγὴν νοσῶν, ἢ ἐν εἰρωνείᾳ μέχρι τριμήνου ἐφόδια ἔχοντα αὐτόν.

409. Ὑπέφηνε τραπέζης, il montra de dessous la table : il tira de dessous la table et brandit. — Il est prêt à assommer le mendiant. Didyme (*Scholies* H) : ἔδειξεν ὡς τούτῳ βαλῶν, εἰ προσέλθοι αἰτῶν αὐτόν.

410. Ἔπεχεν.... Ceci est emprunté à l'*Iliade*, XIV, 241.

413. Προικός est substantif, et il dépend de γεύσασθαι. Didyme (*Scholies* V) : τῆς δωρεὰν δόσεως. *Scholies* H : τὴν δωρεάν· ὧδε γὰρ ὄνομά ἐστι. — Γεύσασθαι, *vulgo* γεύσεσθαι. L'idée de futur est suffisamment exprimée par ἔμελλεν, et γεύσεσθαι n'était qu'une correction byzantine.

414. Στῆ δὲ παρ' Ἀντίνοον. Il y a eu mouvement pour arriver là, et c'est à ce mouvement que se rapporte l'accusatif. Aristarque (*Scholies* B, H et Q) note simplement le fait grammatical, et il en cite un semblable : (ἡ διπλῆ, ὅτι) ἀντὶ τοῦ, παρ' Ἀντινόῳ, ὡς τὸ στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος (*Iliade*, XXIV, 169).

415. Φίλος, le nominatif pour l'accusatif (*rectus vocandi casus*).

415-416. Ὁ κάκιστος et ὤριστος. Bothe : « Significanter additi articuli ad designandum eum, qui velut κατ' ἐξοχήν « videatur omnium pessimus, vel opti« mus. » *Scholies* H : οἷον ἐν τῇ πόλει

ἔμμεναι, ἀλλ' ὤριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
Τῷ σε χρὴ δόμεναι, καὶ λώϊον ἠέ περ ἄλλοι,
σίτου· ἐγὼ δέ κέ σε κλείω κατ' ἀπείρονα γαῖαν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλϐιος ἀφνειὸν, καὶ πολλάκι δόσκον ἀλήτῃ, 420
τοίῳ ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι ἄλλα τε πολλὰ,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
Ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων (ἤθελε γάρ που),
ὅς μ' ἅμα λῃϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν 425
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδὸν, ὄφρ' ἀπολοίμην.
Στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
Ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν καὶ νῆας ἔρυσθαι,
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι. 430
Οἱ δ' ὕϐρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.

κάκιστος λεγόμενος. Mêmes *Scholies :* περισσὸν τὸ ἀλλ' ὤριστος. Rien de plus faux que cette remarque, sinon grammaticalement, du moins pour la poésie. La prétendue répétition est un enchérissement qui double et triple l'énergie de la pensée. — C'est le seul passage de l'*Odyssée* où se trouve ὤριστος. Mais on a vu plusieurs fois cette crase dans l'*Iliade*.

417. Τῷ, par conséquent.

418. Σίτου, génitif partitif : du pain. — Κλείω est au subjonctif présent, et, avec κε, équivaut au futur de l'indicatif : je célébrerai. *Scholies* H : δοξάσω, ὑμνήσω. ἐνεστὼς ἐστιν ἀντὶ τοῦ μέλλοντος. D'après ceci, κλείω serait au présent de l'indicatif. Mais l'exemple τῶν κέν τις τόδ' ἔχῃσι, I, 396, prouve que c'est plutôt un subjonctif.

419-420. Καὶ γὰρ ἐγώ ποτε.... Ulysse veut faire comprendre à Antinoüs qu'il n'a pas affaire à un porte-besace quelconque. *Scholies* Q : οὐκ ἐκ γένους ταπεινοῖ ἑαυτὸν, ἵνα δι' εὐγένειαν καὶ τῷ Ἀντινόῳ δοκῇ παρρησιάζεσθαι καὶ ὑπὸ Πηνελόπης μᾶλλον ἐλεεῖσθαι.

422. Ἦσαν, sous-entendu μοι : je possédais. — Μάλα μυρίοι. Cette hyperbole doit être réduite à ceci : en grand nombre.

423. Οἷσίν τ' εὖ ζώουσι, par lesquelles on vit bien : grâce auxquelles on mène une vie heureuse. Didyme (*Scholies* H) : δι' ὧν καλῶς ζῶσιν.

424. Ἀλάπαξε, sous-entendu ἐμέ : me ruina. Le verbe ἀλαπάζω signifie proprement vider, ne rien laisser. *Grand Étymologique* Miller : ἀλαπάξαι· ἐκπορθῆσαι.... ἐκκενῶσαι κυρίως.

425. Ὅς, avec notre ponctuation, est un conjonctif. Avec celle d'Ameis (ἤθελε γάρ που entre deux points en haut), il est démonstratif.

426. Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδόν. Voyez le vers IV, 483 et les notes sur ce vers. — Ὄφρ' ἀπολοίμην, hyperbole : pour mon malheur.

427-441. Στῆσα.... Voyez les vers XIV, 258-272 et les notes sur ce passage.

Οἱ δὲ βοῆς ἀΐοντες ἅμ' ἠοῖ φαινομένηφιν 435
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
Ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ, 440
τοὺς δ' ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ.
Αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε· 445
Τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
Στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.

442. Ἐς Κύπρον, et non ἐν Κύπρῳ, parce que, pour le donner dans l'île de Cypre, il a fallu l'y transporter. Voyez ἐς Λιβύην, XIV, 295, et Σάμηνδ(ε), XV, 367.

444. Δεῦρο τόδ(ε), pléonasme : *huc*, ici. On a vu τόδ(ε) adverbe, I, 409. — Ulysse, au chant XIV, a fait un récit tout différent de ce qu'on vient de lire dans les trois derniers vers. Eumée aurait droit d'être surpris de cette contradiction ; mais il suppose, et cela lui suffit, que l'étranger a de valables raisons pour ne point dire aux prétendants la vérité vraie, ou du moins ce que lui Eumée regarde comme la vérité. Voilà pourquoi il ne fait aucune réflexion sur la variante du narrateur. Didyme (*Scholies* H et Q) : πέπεισται ὁ Εὔμαιος τἀληθῆ αὐτῷ διηγήσασθαι τὸν μεταίτην διὰ τὴν εὔνοιαν, καὶ ταῦτα πρὸς τὴν Πηνελόπην μηνύει (plus bas, vers 522) περὶ αὐτοῦ, ὡς αὐτὸς ἤκουσε. καὶ οἴεται αὐτὸν ψεύδεσθαι τοὺς μνηστῆρας, ἵνα μὴ παραγυμνώσῃ αὐτοῖς ἃ πέπυσται ἐν Θεσπρωτίᾳ περὶ Ὀδυσσέως. — Il faut qu'Antinoüs, pendant ce discours, ait remis l'escabeau à sa place. Homère ne le dit point ; mais cela est évident. Antinoüs n'a pas dû rester l'escabeau à la main ; et l'expression θρῆνυν ἑλών, vers 462, prouve qu'il l'avait déposé.

446. Δαιτὸς ἀνίην est une apposition à τόδε πῆμα.

447. Στῆθ(ι), arrête-toi. — Οὕτως, comme tu es : sans dépasser l'endroit où te voilà. Antinoüs montre du doigt la place. Aristarque (*Scholies* H) : (ἡ διπλῆ, ὅτι) μετὰ δείξεως, ὁμοίως τῷ ἀμφίπολοι, στηθ' οὕτω ἀπόπροθεν (VI, 218)· καὶ τῷ Ἥφαιστε, πρόμολ' ὧδε (*Iliade*, XVIII, 392), οὕτως ὡς ἔχεις σχήματος. ὁ δὲ λόγος ὡς νῦν, ἵστασαι, στῆθι κατὰ τὴν αὐτὴν στάσιν, μὴ πλησίον τῆς τραπέζης μου. — Ἐς μέσσον, et non ἐν μέσσῳ, à cause du mouvement par lequel Ulysse est arrivé là. Voyez plus haut la note du vers 442.

448. Πικρήν, amère : qui t'a été amère. Didyme (*Scholies* H) : ἣν εἶπες πικρήν σοι εἶναι. — Ἵκηαι. Ancienne variante, ἴδηαι.

449. Ὡς, parce que. Voyez le vers II, 233 et la note sur ce vers. Le mot n'est accentué que comme suivi d'une enclitique. On l'explique ordinairement par *adeo*. C'est supposer qu'il est pour οὕτως, et que l'accent lui appartient en propre. Des deux façons, le sens est au fond le même. — Ameis admet tout à la fois l'une et l'autre explication : ὥς, *das ist* ὅτι οὕτως. Mais cela semble un peu arbi-

Ἑξείης πάντεσσι παρίσταται· οἱ δὲ διδοῦσιν 450
μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
Ὢ πόποι, οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·
οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης, 455
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφατ'· Ἀντίνοος δὲ χολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Νῦν δή σ' οὐκέτι καλὰ διὲκ μεγάροιό γ' ὀΐω 460
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,

traire; et son renvoi au vers II, 233 n'est pas une justification suffisante; car là aussi ὅτι οὕτως n'est qu'une hypothèse. Tout ce que prouve ce passage, c'est que ὡς est une conjonction; et Nicanor l'expliquait simplement par ὅτι.

450-452. Ἑξείης.... Quelques anciens regardaient ces trois vers comme une interpolation. Didyme (*Scholies* H) : τρεῖς νοθεύονται. ἐφ' οἷς γὰρ Ἀντίνοος ὀνειδισθεὶς ὤργισται, εἰκὸς ἦν ἀχθεσθῆναι καὶ τοὺς λοιπούς. — Payne Knight approuve l'athétèse : *frigida enim commenta sunt.* Dugas Montbel, à son tour, approuve le jugement de Payne Knight. Bekker leur donne raison; car il a rejeté les trois vers au bas de la page. Fæsi de même; car il les a mis entre crochets. Mais Antinoüs est un brutal; et notre délicatesse n'est pas en droit, ce semble, d'être choquée de ce qu'il parle en brutal.

451. Μαψιδίως, au hasard : sans y regarder.

452. Ἀλλοτρίων χαρίσασθαι, à faire largesse des choses étrangères : à faire le généreux avec le bien d'autrui. — Πάρα pour πάρεστι ou πάρεισι, Homère mettant indifféremment le verbe au singulier ou au pluriel, avec un sujet au pluriel neutre. — Πολλά, des choses en quantité : plus de vivres qu'ils ne peuvent en consommer eux-mêmes. Voyez plus bas, vers 457, τὰ δὲ πολλὰ πάρεστιν.

454. Ἐπὶ εἴδεϊ, outre la beauté. Voyez plus haut, vers 308, ἐπὶ εἴδεϊ τῷδε.

455. Οὐδ' ἅλα, pas même un grain de sel. C'est une expression proverbiale, qu'on retrouve chez Théocrite et ailleurs. Eustathe : οὐδὲ τὸ εὐτελέστατον ἂν δοίης. Au lieu de οὐδ' ἅλα, Callistrate écrivait en un seul mot, οὔδαλα, des ordures. Notre vulgate est la leçon d'Aristarque. Didyme (*Scholies* B, H, M et Q) : οὕτως Ἀρίσταρχος ἀνέγνωκε, καὶ ἀπέδωκε τοὺς ἅλας. ὁ δὲ Καλλίστρατος οὔδαλα, τὰ κόπρια. Mais cette correction faisait grand tort à Homère; car c'est la double négation qui donne au vers toute sa vivacité et toute son énergie.

457. Σίτου, comme au vers 418 : du pain. — Τά, ces choses : les vivres de toute espèce. — Δέ, et pourtant.

458. Μᾶλλον, davantage encore. Voyez la note du vers V, 284.

459. Καί μιν.... On a vu un vers analogue, VIII, 165, et ce vers était, *mutatis mutandis*, un emprunt fait à l'*Iliade*.

460. Οὐκέτι porte sur καλά. Voyez, XVI, 10, la note première. — Καλά adverbe : de belle façon.

461. Ὅτε, puisque. — Καί, de surcroît : outre ton importunité de mendiant.

462. Ἑλών, ayant pris, c'est-à-dire ayant repris. Voyez plus haut la dernière note du vers 444. — Βάλε, il (le) lança. Ajoutez : et il atteignit Ulysse; ce qui est

πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη ἠΰτε πέτρη
ἔμπεδον, οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο·
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων. 465
Ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
θῆκεν ἐΰπλείην· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσὶν οὔτε τι πένθος, 470
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
βλήεται, ἢ περὶ βουσὶν ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.
Ἀλλ' εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐρινύες εἰσὶν, 475

indiqué par l'endroit atteint par le projectile, δεξιὸν ὦμον (à l'épaule droite). La traduction *ei feriit dextrum humerum* ne donne pas l'exact équivalent des termes. Elle n'est qu'un grossier à-peu-près. C'est avec raison que les anciens expliquaient ici le mot βάλε par ἔρριψε. *Scholies* Q : εἰώθαμεν ἐν ταῖς ὀργαῖς ῥίπτειν ὃ ἐπὶ χεῖρας ἔχομεν.

462 Ὁ, lui : Ulysse. — Ἠΰτε πέτρη. Cette comparaison a été perpétuellement reproduite par les poëtes depuis Homère.

464. Βέλος, l'arme de jet : l'escabeau lancé.

465. Ἀκέων, silencieux : sans ouvrir la bouche. — Κακά, des choses funestes : la mort d'Antinoüs.

466. Ἂψ δ' ὅγ' ἐπ' οὐδόν. Ancienne variante, ἂψ δ' ἄρ' ἐπ' οὐδόν, leçon adoptée par Ameis, à cause de l'exemple XVI, 213, où ἄρα est répété : ὣς ἄρα φωνήσας κατ' ἄρ' ἕζετο. Mais ici c'est trois fois de suite que se trouverait ἄρα ; et c'est vraiment beaucoup.

467. Ἐϋπλείην doit être changé, selon Bothe, en ἐνιπλείην, terme vraiment homérique. La raison qu'il en donne, c'est qu'on ne dit point κακόπλειος. Cette raison est peu concluante. Un sac peut être plus ou moins plein. La besace d'Ulysse n'est pas pleine seulement, elle est entièrement pleine, et même bourrée. C'est ce qu'exprime ἐϋπλείην. Peu importe qu'il soit un ἅπαξ εἰρημένον tandis qu'on a vu ἐνίπλειος au vers 300 et ailleurs, et qu'on le reverra encore.

468. Κέκλυτέ μευ.... Répétition textuelle du vers 370.

471. Περὶ οἷσι.... Les paroles d'Ulysse ont un double sens. Elles sont tout à la fois et une maxime générale et une application de cette maxime qu'il se fait à lui-même. *Scholies* B : αἰνιγματωδῶς φησὶ ταῦτα.

474. Οὐλομένης,... Voyez plus haut le vers 287 et la note sur ce vers. — Bekker rejette ici le vers au bas de la page ; mais personne n'a ratifié cette condamnation.

475-480. Ἀλλ εἴ που.... Quelques anciens regardaient ces six vers comme une interpolation. Didyme (*Scholies* H et Q) : νοθεύονται ἕξ. πῶς γὰρ ὁ Ἀντίνοος ἐκαρτέρησεν ἐπὶ ταῖς κατάραις, ὃς ἐπὶ τοῖς ἐλάσσοσιν οὕτως ἠγρίανε ; πῶς τε συναλγοῦσιν αὐτῷ οἱ λοιποὶ, εἰ τοιοῦτος ὢν οὕτω κατηρᾶτο πικρῶς ; Ce sont là des raisons d'enstatiques, c'est-à-dire de mauvaises chicanes. Elles sont approuvées, il est vrai, par Payne Knight ; mais Dugas Montbel est resté dans le doute. Aucun des derniers éditeurs, à l'exception de Fæsi, n'a admis l'athétèse. Encore Fæsi garde-t-il les deux derniers vers du discours d'Ulysse, 475-476.

475. Πτωχῶν.... Ἐρινύες, des Érinyes des mendiants, c'est-à-dire des déesses qui vengent les injures faites aux mendiants. Voyez la note du vers II, 135.

Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
  Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Ἔσθι' ἕκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ' ἄλλῃ·
μή σε νέοι διὰ δώματ' ἐρύσσωσ', οἷ' ἀγορεύεις,
ἢ ποδὸς ἢ καὶ χειρός, ἀποδρύψωσι δὲ πάντα. 480
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
  Ἀντίνο', οὐ μὲν κάλ' ἔβαλες δύστηνον ἀλήτην,
οὐλόμεν'· εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν.
Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν, 485
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
  Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξεν
βλημένου· οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν, 490

476. Ἀντίνοον. Ulysse a entendu nommer Antinoüs par Télémaque, vers 397. Il ne manque donc point à la vraisemblance de son rôle de mendiant et d'étranger, en nommant le jeune homme par son nom. Quant à la véhémence de son langage, elle s'explique suffisamment par l'indignation et la colère. — Τέλος θανάτοιο, la mort. Voyez la note du vers III, 309 de l'*Iliade*.

478. Ἄπιθ(ι), va-t'en d'ici.

479. Νέοι, les jeunes gens : les prétendants. — Οἷ' ἀγορεύεις, vu ce que tu dis : à cause de ton langage. Voyez, IV, 611, la note sur οἷ' ἀγορεύεις. Nicanor (*Scholies* H) : καθ' ἑαυτὸ οἷ' ἀγορεύεις· κατὰ ἔκπληξιν· λείπει ἡ διά, δι' οἷα.

480. Πάντα dans le sens de ὅλον : tout entier ; par tout le corps. — Ceux qui admettaient l'athétèse des vers 475-480 trouvaient ce discours d'Antinoüs peu conforme au caractère du personnage. *Scholies* H : οὐδὲ τῷ τοιούτῳ προσώπῳ ἐοικότες οἱ λόγοι. Il est certain qu'Antinoüs aurait pu parler autrement ; mais on ne voit guère ce qui empêche qu'il ait parlé ainsi.

481. Ὑπερφιάλως νεμέσησαν. Ils vont expliquer eux-mêmes pourquoi ils désapprouvent la brutalité d'Antinoüs.

482. Ὧδε, ainsi : dans les termes suivants.

483. Οὐ.... καλ(ά), non bien, c'est-à-dire contre toute raison.

484. Εἰ δή που, si pourtant par hasard : mais supposé que. La supposition seule a besoin d'être exprimée. La conséquence est évidente : nous serons punis. On peut sous-entendre, si l'on veut : que ferons-nous alors ? Didyme (*Scholies* B et H) : λείπει, τί ποιητέον εἰ θεός ἐστι ;

485. Καί τε, et en effet.

486. Παντοῖοι τελέθοντες, étant de toutes façons, c'est-à-dire se montrant sous toute sorte de formes. Didyme (*Scholies* H) : οὐκ ἄπιστον οὖν εἰ καὶ μεταίτῃ εἰκασθήσεταί τις θεῶν. Eustathe : ἀπορίαν λύει τινά, ἵνα μὴ τυχὸν ὁ Ἀντίνοος εἴπῃ, μὴ ἂν ἐν οὕτω πτωχικῷ σχήματι τὸ θεῖον φαντασθήσεσθαι· οἱ γὰρ παντοῖοι τελέθοντες καὶ πτωχοὶ ἂν ἐπιφανοῦνται.

487. Εὐνομίην, opposé à ὕβριν, signifie la pratique de la justice, la vertu. C'est un ἅπαξ εἰρημένον. (*Scholies* V) : εὐνεμεσίαν, καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν.

488. Ὁ, lui : Antinoüs.

490. Βλημένου, génitif causal : à propos de l'homme frappé, c'est-à-dire parce qu'Ulysse avait reçu le coup d'escabeau.— Οὐδ(έ) dans le sens étymologique, comme s'il y avait ἀλλ' οὐ.

ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν· 495
Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ Κηρὶ ἔοικεν. 500
Ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·

491. Ἀλλ' ἀκέων κίνησε.... Voyez plus haut le vers 465 et les notes sur ce vers. L'attitude impassible de Télémaque est absolument conforme à ce que lui avait recommandé son père, XVI, 274-277. Eustathe : ἔχει δὲ τὸ τλησικάρδιον ὁ νεανίας ἐξ ὧν ὁ πάτηρ παρῄνεσε τοιοῦτον εἶναι, εἰ καὶ κατὰ δῶμα ποδῶν ἕλκεται, ἢ βέλεσι βάλλεται.

492. Ἤκουσε. Pénélope travaille avec ses femmes dans une chambre du rez-de-chaussée. Il faut supposer que les portes de cette chambre sont ouvertes, et que Pénélope voit et entend ce qui se passe dans la salle du festin.

494. Οὕτως, ainsi, c'est-à-dire comme tu as frappé cet homme. Mais Pénélope entend par là qu'Antinoüs périsse, puisque les traits d'Apollon sont toujours mortels. — Σε, toi. Elle s'adresse mentalement à Antinoüs.

495. Εὐρυνόμη ταμίη. Il n'a point encore été question de cette intendante; mais elle sera nommée plusieurs fois dans la suite du récit. C'est une servante aussi fidèle qu'Euryclée elle-même.

496. Εἰ γάρ, comme plus haut αἴθε, vers 494. On a vu, XV, 545, cette formule de souhait. — Ἐπ(ί) doit être joint à γένοιτο. — Τέλος, un accomplissement. Les *Scholies* B et Q commentent très-bien ce vers, mais en laissant à εἰ son sens habituel, ce qui suppose qu'il n'y a qu'une simple virgule après γένοιτο, et ce qui fait des paroles d'Eurynome une réflexion à propos du souhait de Pénélope : εἰ προβαίη ἐπὶ ταῖς ἡμετέραις εὐχαῖς τὰ πράγματα. τοῦτο γὰρ λείπει.

499. Μαῖ(α). C'est le même terme d'amitié dont s'est servi Télémaque avec Euryclée, II, 349. Ce terme était pour les femmes ce qu'était ἄττα pour les vieillards.

501-504. Ξεῖνός τις.... Aristarque avait obélisé ces quatre vers. Il suppose que Pénélope ne peut savoir ce qu'elle raconte. Cependant cette athétèse n'était que conditionnelle. Didyme (*Scholies* H) : νοθεύει Ἀρίσταρχος τέσσαρας. πῶς γὰρ ἂν ταῦτα εἰδείη, εἰ μή πως κατὰ τὸ σιωπώμενον; Il semble pourtant que le poëte, en disant ἤκουσε, vers 492, a dit tout ce qui était nécessaire pour qu'on sût comment Pénélope avait pu être informée. Pénélope et la vieille savent que c'est Antinoüs qui a frappé, c'est donc qu'elles ont été à même de voir aussi bien que d'entendre. Que s'il ne s'agit que d'entendre, c'est que le souhait de Pénélope est provoqué par le retentissement du coup d'escabeau. — Payne Knight supprime les vers 501-504, et Dugas Montbel a l'air d'approuver cette suppression; Bekker rejette les quatre vers au bas de la page. Mais le passage est resté intact chez tous les autres éditeurs.

501. Ἀλητεύει. Bothe écrit ἀλήτευεν, correction inutile, quoi qu'il dise, et que personne n'a adoptée.

502. Ἀνέρας αἰτίζων. Voyez αἰτήσων φῶτα ἕκαστον, vers 365, et la note sur cette expression; car αἰτίζω et αἰτέω, au fond c'est tout un.

ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τε δόσαν τε·
οὗτος δὲ θρήνυι πρυμνὸν βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξὶν, 505
ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς·
ἡ δ' ἐπὶ οἷ καλέσασα προσηύδα δῖον ὑφορβόν·
Ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προσπτύξομαι ἠδ' ἐρέωμαι,

503. Ἐνέπλησαν τε δόσαν τε, hystérologie. Le poëte a dit, vers 411-412 : οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην σίτου καὶ κρειῶν. — Quelques anciens sous-entendaient, avec ἐνέπλησαν, αὐτόν, et non πήρην. *Scholies* H et Q : ἐκόρεσαν. Mais alors c'est à δόσαν qu'ils rapportaient l'idée de provisions. Mêmes *Scholies* : πλήρεις ἔχοντι τὰς χεῖρας καὶ ἄλλα προσέδοσαν.

504. Πρυμνὸν.... ὦμον. Voyez plus haut, vers 462-463. Ulysse a été frappé à l'endroit où se joignent le cou et l'épaule. La précision avec laquelle Pénélope s'exprime était un des arguments qu'Aristarque faisait valoir contre l'authenticité du passage. Didyme (*Scholies* H) : οὐκ ἂν οὕτως ἀκριβῶς εἰδείη τὸ βληθὲν μέρος. Mais, là encore, on voit qu'Aristarque ne fait guère que douter.

506. Ἐν θαλάμῳ. Ancienne variante, ou plutôt ancienne glose, ἐν μεγάρῳ. En effet, le mot θάλαμος ne signifie point ici chambre à coucher. La chambre à coucher de Pénélope était en haut de l'escalier, et non au rez-de-chaussée. Voyez les vers I, 328-330 et 362-364. Il s'agit de la grande pièce où se tenait habituellement la maîtresse de maison, entourée de ses femmes. — Ὁ (lui) est déterminé par δῖος Ὀδυσσεύς. — Ἐδείπνεε. Ulysse s'est remis à manger, afin d'être fidèle à son rôle de mendiant. Il veut qu'on le prenne pour un véritable affamé. Cette réflexion suffit pour justifier le poëte. Tel n'est point l'avis de Bothe. Cet éditeur trouve ὁ δ' ἐδείπνεε absurde, et il propose de le changer en ὁ δὲ δὴ πνέε : « Quid ? prandit pransus « (359), et opprobriis oppletus, et plaga « tantum non letali percussus (489-491, « 567), proptereaque flagrans dolore at« que ira (465), ut in superioribus (235-« 238)? Cave credas. Abjectissimo vilior « fuisset errone, nec Telemachi, Penelopæ « et ipsorum procorum commiseratione di« gnus, si tam invenustum, tamque ἀναί« σθητον, se præbuisset. Restituam poetæ « manum suam, ὁ δὲ δὴ πνέε, *ille vero* « *anhelabat*, sive *iram spirabat*, quod per « se nonnunquam dicitur πνεῖν, etc. » — Ce prétendu perfectionnement du texte n'a été admis par personne. Les motifs allégués par Bothe contre la vulgate sont des subtilités sans valeur. Il y en a même un qui est inepte : *nec Telemachi.... commiseratione dignus*. Télémaque n'a pas besoin de s'apitoyer sur le mendiant, puisqu'il sait que ce mendiant est son père. J'ajoute que les anciens n'ont pas même eu l'idée de trouver mauvais qu'Ulysse se remît à manger, et que, s'ils variaient sur le passage, c'est uniquement à propos de l'orthographe : les uns préféraient ὁ δ' ἐδείπνει à ὁ δ' ἐδείπνεε, les autres ὁ δὲ δείπνεε.

507. Ἐπὶ οἷ. Voyez plus haut la note du vers 330. — Καλέσασα, ayant appelé, c'est-à-dire ayant fait appeler, ayant envoyé chercher. Pénélope est trop loin d'Eumée, pour l'appeler directement comme l'a fait Télémaque à deux reprises, vers 330 et 342, où l'expression est la même qu'ici. *Scholies* B et Q : μετακαλεσαμένη αὐτὸν διά τινος. οὐ γὰρ οὕτως ἐγγὺς ἦν.

508. Ἔρχεο et ἄνωχθι sans conjonction. Voyez, X, 320, la note sur une construction du même genre.

509. Προσπτύξομαι. Ancienne variante, προσφθέγξομαι. Cette correction était inutile. Voyez le vers VIII, 478 et la note sur ce vers. Ici comme là προσπτύξομαι est au subjonctif; mais ici le sens est plus affaibli encore, puisqu'il s'agit seulement d'admettre en sa présence, de recevoir. Didyme (*Scholies* M et V) : νῦν προσδέξομαι.

εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται 510
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικεν.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
οἷ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
Τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα 515
ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ' ἵκετο νηὸς ἀποδράς·
ἀλλ' οὔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.
Ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅστε θεῶν ἒξ
ἀείδῃ δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσιν,

511. Ἴδεν, sous-entendu αὐτόν, c'est-à-dire Ὀδυσσῆα ταλασίφρονα.

513. Εἰ γάρ, je voudrais bien que. Voyez plus haut le vers 496 et la première note sur ce vers. — Τοι, pour toi, c'est-à-dire afin de te permettre d'écouter ce que raconte cet homme.

514. Οἷ' ὅγε μυθεῖται, vu les choses que cet homme raconte. Voyez plus haut, vers 479, la note sur οἷ' ἀγορεύεις. Eustathe : τὸ οἷα ὅγε μυθεῖται ὅμοιον ἐστι τῷ οἷ' ἀγορεύεις. Il y a pourtant une différence, c'est que le considérant est ici placé avant ce qu'il motive. L'identité des deux expressions devrait peut-être faire rattacher οἷ' ὅγε μυθεῖται à ce qui précède, et non à ce qui suit. Il n'y aurait qu'une virgule après Ἀχαιοί, et le point serait après μυθεῖται. Mais il y a une ancienne écriture d'après laquelle οἷ' ὅγε μυθεῖται est une exclamation, par conséquent une phrase isolée. Nicanor (*Scholies* B, H et Q) : θαυμαστικῶς διὰ μέσου ἀναπεφώνηται οἷα ὅγε μυθεῖται. Quelque ponctuation qu'on adopte, le sens au fond reste le même. La variante ἥ ὅγε, ou ᾗ ὅγε, n'est qu'une faute d'iotacisme pour οἷ' ὅγε. En effet, cette prétendue leçon n'offre absolument aucun sens.

515. Τρεῖς νύκτας.... τρία δ' ἤματ(α). Bothe : « Non est premendum, quod dixit « νύκτας καὶ ἤματα, non contra, ut res « fuit ; nam mane Ulysses advenit ad Eu« mæum, post navigationem nocturnam ; « sed ita per hysteronproteron locutus est « familiariter, metrique etiam fortasse cau« sa, cui positus ille verborum congrue« bat. » Bothe justifie cette dernière observation par l'exemple de Virgile, *Énéide*, VI, 127 : « Noctes atque dies patet atri « janua Ditis. » Il aurait mieux fait de citer Homère lui-même, *Odyssée*, II, 345-346 : ταμίη νύκτας τε καὶ ἦμαρ ἔσχ(ε). Ici l'hystérologie est manifeste. Le poëte se sert d'une formule d'aède, et voilà tout. Dans le royaume des ténèbres, il est tout naturel que la nuit soit nommée avant le jour ; et l'exemple de Virgile est le moins concluant des deux. — Les modernes, dans les langues d'origine romaine, disent *jour et nuit* et *nuit et jour*, mais non pas indifféremment. Le fameux personnage qui dit *notte e giorno faticar* a toute sorte de raisons de mettre en première ligne les fatigues de nuit qui lui sont imposées.

516. Πρῶτον.... ἐμ(έ), chez moi le premier : chez moi avant tout autre.

517. Κακότητα.... ἥν, sa misère : le récit de ses malheurs. — Διήνυσεν... ἀγορεύων, il acheva racontant : il a fini de raconter. Eumée fait entendre que ce que le mendiant lui a raconté n'est qu'une portion des aventures de cet homme. Voyez ce que lui a dit Ulysse, XIV, 197-198.

518. Ποτιδέρκεται. L'auditeur qui admire ne quitte pas des yeux l'aède. — Ὅστε se rapporte à ἀοιδόν.

518-519. Θεῶν ἒξ.... δεδαώς, instruit par les dieux : divinement inspiré. Didyme (*Scholies* H) : μαθὼν παρὰ θεῶν, θεόπνευστος.

519. Ἀείδῃ a la première syllabe brève de nature. Le poëte use ici, avec un mot de trois syllabes, d'une licence qui lui est habituelle avec les mots de quatre ou de cinq syllabes au commencement du vers On peut aussi dire que le vers est acéphale. — Ἔπε(α) dépend de ἀείδῃ.

τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ· 520
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισιν.
Φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
Ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι, 525
ἀγχοῦ, Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
Οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιαάσθων, 530

520. Μεμάασιν a pour sujet βροτοί sous-entendu.

521. Ὥς, de même, c'est-à-dire comme l'aède enchante son auditeur.

522. Φησὶ..., il dit qu'il est l'hôte d'Ulysse de père en fils. Le mendiant n'a rien dit de pareil, au moins dans ce qu'Homère rapporte de ses discours. Homère n'a certainement rapporté qu'une partie des discours d'Ulysse; mais peut-on supposer que le poëte eût négligé un dire aussi important? Quelques-uns l'admettaient néanmoins. D'autres pensaient qu'Eumée cherche à donner au mendiant plus de relief, et à le rendre plus digne de la confiance de Pénélope. Eustathe : σημείωσαι ὅτι κατὰ τὸ σιωπώμενον ἔοικεν Ὀδυσσεὺς πολλά τινα ἔξω τοῦ Ὁμήρου ἀφηγήσασθαι τῷ Εὐμαίῳ· ἃ γάρ τοι πρὸς ἐκεῖνον εἶπεν, οὐδὲ ὡρῶν ὀλίγων τινῶν ἐδέοντο. εἰκὸς δὲ καὶ ῥητορικῶς τὸν Εὔμαιον ψεύδεσθαι, ὡς ἂν μεγαλύνῃ παρ' αὐτῇ τὸν φίλον πτωχόν. Eumée ne croit pas même faire un mensonge, vu ce que le mendiant lui a dit, vers XIV, 199 et 234, et surtout vers 470-471. — Bothe explique autrement la chose : *memoriter hæc Eumæus senex; neque enim Ulysses dixit* ξ 321. C'est bien plutôt une affirmation consciente, et les lapsus de mémoire n'ont rien à faire ici. Ameis : « Ὀδυσσῆος ξεῖ-« νος.... ist ein absichtlicher Zusatz des « gutmüthigen Eumæos, um das Verlangen « der Penelope noch heftiger anzuregen « und dadurch dem Fremdlinge eine recht « günstige Aufnahme zu bereiten. »

523. Κρήτῃ ναιετάων. Voyez XIV, 219.

524. Ἔνθεν.... Voyez plus haut le vers 444 et les notes sur ce vers.

525. Προπροκυλινδόμενος. Voyez la note du vers XXII, 221 de l'*Iliade*. *Scholies* B et Q : μετὰ κακοπαθείας ἀπὸ πόλεως εἰς πόλιν φερόμενος. *Scholies* V : πλανώμενος. *Scholies* M : ἄλλοτε ἄλλους τῆς οἰκουμένης ἀμείβων τόπους. Ces explications sont incomplètes. Eustathe : ἤγουν ἱκετεύων, ἢ καὶ ἱκετευτικῶς ἀπὸ τόπου εἰς τόπον ἥκων. C'est cette dernière explication qui est la plus satisfaisante ici; et ἱκετεύων ne va bien qu'à l'exemple de l'*Iliade*. Ancienne variante, πρόχνυ κυλινδόμενος, mauvaise correction de diascévaste. — Στεῦται, il affirme. Voyez la note du vers XI, 584. — Ὀδυσῆος ἀκοῦσαι, avoir entendu parler d'Ulysse. Voyez les vers XIV, 321-330.

526. Θεσπρωτῶν.... Voyez les vers XIV, 315-317.

527. Ἄγει a pour sujet Ὀδυσσεύς sous-entendu.

529. Ἔρχεο,... κάλεσσον, va (lui) dire de venir. Voyez plus haut la note du vers 508.

530. Οὗτοι. Pénélope montre les prétendants. — Ἑψιαάσθων, qu'ils prennent leur récréation. Apollonius : παιζέτωσαν. Ce n'est pas du tout un commandement. L'impératif ici, comme dit Ameis d'après les anciens, est simplement concessif. *Scholies* B et Q : τοῦτο δὲ οὐχ ὡς προστάσσουσα, ἀλλ' ὡς εἰδυῖα τὸ ἔθος ὅτι καθήμενοι ἔπαιζον.

ἢ αὐτοῦ κατὰ δώματ'· ἐπεί σφισι θυμὸς ἐύφρων.
Αὐτῶν μὲν γὰρ κτήματ' ἀκήρατα κεῖτ' ἐνὶ οἴκῳ,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν·
οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας, 535
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. Οὐ γὰρ ἔπ' ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν. 540
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ' ἔπταρεν, ἀμφὶ δὲ δῶμα
σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια,
αἶψα δ' ἄρ' Εὔμαιον ἔπεα πτερόεντα προσηύδα·
Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
Οὐχ ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν; 545
Τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο,
πᾶσι μάλ', οὐδέ κέ τις θάνατον καὶ Κῆρας ἀλύξοι.

531. Κατὰ δώματ(α) précise le sens de l'adverbe αὐτοῦ. — Ἐύφρων, porté à la joie. Didyme (*Scholies* H) : ἀφροντις, καὶ ἐν εὐφρασίᾳ.

532. Ἀκήρατα κεῖτ(αι), restent sans dommage : ne sont pas dévorés par des étrangers. *Scholies* B : ὑπὸ ἀλλοτρίων. ἃ δὴ οἰκεῖοι αὐτῶν ἔδουσι.

533. Σῖτος καὶ μέθυ ἡδύ, apposition explicative à κτήματ(α). — Τά, ceux-là : les biens qui leur appartiennent. — Οἰκῆες, les gens de (leur) maison (et non des étrangers).

534-538. Οἱ δ' εἰς ἡμέτερον.... Voyez les vers II, 55-59 et les notes sur ce passage.

540. Σὺν ᾧ παιδί, avec son fils : aidé par son fils.

541. Μέγ' ἔπταρεν, éternua fortement.

542. Κονάβησε. Ancienne variante, κανάχησε.

543. Αἶψα.... Répétition du vers XVI, 7.

544. Ἔρχεο,... κάλεσσον. Voyez plus haut la note du vers 529. L'addition de μοι à ἔρχεο donne ici plus de vivacité à l'expression. C'est comme si Pénélope disait : *fais-moi le plaisir d'aller appeler*.

545. Οὐχ ὁράᾳς, ne vois-tu pas? c'est-à-dire n'as-tu pas entendu? — Ὃ dans le sens de ὅτι, comme souvent chez Homère après le verbe *voir*. — Μοι υἱός le fils à moi : mon fils. C'est l'explication des anciens. Les modernes rapportent μοι à ἐπέπταρε, ou même le regardent comme redondant. — Πᾶσιν ἔπεσσιν, aux paroles complètes, c'est-à-dire à la fin de ton discours. La traduction *ad omnia verba* ne donne aucun sens. Il est évident, d'après le vers 541, que πᾶσιν équivaut à ὅλοις, puisque Télémaque n'a éternué qu'une seule fois, et au moment où Eumée cessait de parler.

546. Τῷ, par conséquent. L'éternument était considéré comme un signe favorable.

547. Πᾶσι.... Ce vers manque dans quelques manuscrits; Clarke et d'autres le regardent comme inutile. Il y a certainement tautologie, et Eustathe a raison de le dire. Mais cette tautologie est-elle vicieuse? Au contraire; rien n'est plus naturel, rien ne fait mieux comprendre la satisfaction de Pénélope. — Bothe propose de faire disparaître la répétition d'idée en changeant, au vers 546, θάνατος en κά-

Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴ κ' αὐτὸν γνώω νημερτέα πάντ' ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά. 550
Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ. 555
Εἰ δέ κέ σε γνώῃ νημερτέα πάντ' ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον
γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ' ἐθέλῃσιν.
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς· 560
Εὔμαι', αἶψά κ' ἐγὼ νημερτέα πάντ' ἐνέποιμι
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ' ἀνεδέγμεθ' ὀϊζύν.
Ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι' ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει. 565
Καὶ γὰρ νῦν, ὅτε μ' οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,

ματος. Cette correction n'a pas fait fortune. Les plus récents éditeurs admettent, sans scrupule aucun, que Pénélope dise deux fois la même chose. Nous en ferions, à sa place, autant qu'elle, sinon aussi bien qu'elle.

548. Ἄλλο.... Voyez le vers XVI, 299 et la note sur ce vers.

550. Ἕσσω μιν.... Voyez le vers XVI, 79 et les notes sur ce vers.

551-552. Ὣς.... Voyez plus haut les vers 348-349 et les notes sur ce passage.

552. Ἀγχοῦ, proche : près d'Ulysse.

554. Ἑ dépend de κέλεται, et il est le sujet de μεταλλῆσαι.

555. Πεπαθυίῃ au datif, comme s'il y avait οἱ, et non pas ἑ. C'est sans doute pour corriger cette incohérence grammaticale que quelques anciens changeaient πεπαθυίῃ soit en πεπαθοίης, soit en πεπαθοίη, qu'ils expliquaient par πέπονθας et πέπονθε. Avec ces optatifs on lisait sans doute κήδε' ἅπερ, et non plus κήδεά περ. Mais il est inutile de rien changer.

558. Σῖτον dépend de αἰτίζων.

559. Δώσει.... Répétition de ce qu'a dit Ulysse lui-même au vers 19.

563. Οἶδα, je sais, c'est-à-dire je suis informé. — Ὁμὴν.... ὀϊζύν, pareille misère : des maux que nous partagions ensemble. Didyme (*Scholies* B et V) : ὁμήν· τὴν αὐτήν. — Δ(έ) est explicatif, et il équivaut à γάρ.

565. Τῶν ὕβρις.... Répétition du vers XV, 329.

566. Νῦν, tout à l'heure. — Οὗτος ἀνήρ est dit en mauvaise part. Ulysse montre Antinoüs.

567. Ῥέξαντα. Ancienne variante, ῥέζοντα. — Ὀδύνῃσιν ἔδωκεν, après βαλών, est une formule poétique empruntée à l'*Iliade*, V 397.

οὔτε τι Τηλέμαχος τόγ' ἐπήρκεσεν οὔτε τις ἄλλος.
Τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα· 570
καὶ τότε μ' εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι
λύγρ' ἔχω· οἶσθα καὶ αὐτὸς, ἐπεί σε πρῶθ' ἱκέτευσα.
Ὣς φάτο· βῆ δὲ συφορβὸς, ἐπεὶ τὸν μῦθον ἄκουσεν.
Τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια· 575
Οὐ σύγ' ἄγεις, Εὔμαιε; Τί τοῦτ' ἐνόησεν ἀλήτης;
Ἦ τινά που δείσας ἐξαίσιον ἠὲ καὶ ἄλλως
αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος, 580
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
Ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
Καὶ δὲ σοὶ ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι.

568. Τόγ(ε), cela : cette violence.

570. Μεῖναι, d'avoir attendu : de patienter en m'attendant. — Ἐς, jusqu'à.

571. Πέρι. Ancienne variante, περί. Avec la première orthographe, il faut construire : εἰρέσθω ἦμαρ νόστιμον περὶ πόσιος. C'est à l'autre orthographe que correspond la traduction *mariti de reditus die;* mais cette orthographe est mauvaise. En tout cas, il est bizarre de lire, comme dans l'Homère-Didot, *mariti de reditus die* en face de πόσιος πέρι. On dit εἴρομαι avec l'accusatif de la chose (voyez l'*Iliade*, X, 416), et l'on ne dit pas εἴρομαι περί τι : il faudrait περὶ νοστίμου ἤματος.

572. Ἀσσοτέρω, comparatif du comparatif ἆσσον, et qui enchérit sur lui : tout proche. — Καθίσασα, sous-entendu ἐμέ : m'ayant fait asseoir.

573. Ἔχω, je porte : j'ai sur moi. — Πρῶ(τα), d'abord : avant de m'adresser à un autre. Voyez plus haut, vers 516, πρῶτον γὰρ ἔμ' ἵκετο. Ulysse rappelle ainsi qu'Eumée a été obligé de prêter un manteau à son hôte, pour le garantir du froid de la nuit.

574. Ὣς.... Répétition du vers 584.

575. Τὸν δ' ὑπὲρ.... On a vu, IV, 680, un vers presque absolument semblable. — Remarquez ici que chaque porte avait un seuil, même dans l'intérieur de la maison.

576. Ἄγεις, sous-entendu αὐτόν, c'est-à-dire τὸν ξεῖνον. — Τοῦτ(ο), cela, c'est-à-dire de ne pas t'accompagner.

577. Ἐξαίσιον adverbe : excessivement. Didyme (*Scholies* V) : μεγάλως.

578. Κακός, sous-entendu ἐστί : est un maladroit, c'est-à-dire n'entend rien à son métier. — Αἰδοῖος, honteux : qui n'est pas sans vergogne. *Scholies* B et Q : κακὸς, ἀλυσιτελὴς ἑαυτῷ. αἰδοῖος, ὁ αἰδούμενος. Didyme (*Scholies* V) : αἰδοῖος· νῦν ὁ αἰδούμενος.

580. Μυθεῖται a pour sujet ἀλήτης sous-entendu.—Ἅπερ κ' οἴοιτο καὶ ἄλλος. Didyme (*Scholies* H) : ἅπερ ἂν καὶ ἄλλος ὑπονοήσειεν.

583. Δέ est dans le sens de δή.—Ὧδ(ε), ainsi, c'est-à-dire de faire ce qu'il dit. — Κάλλιον, sous-entendu ἐστί : il vaut mieux. — On a vu, VI, 39, un vers semblable à celui-ci, sauf les deux derniers mots.

584. Φάσθαι.... Formule empruntée à l'*Iliade*, IX, 100.

Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια· 585
Οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὅσπερ ἂν εἴη·
οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευεν· ὁ δ' ᾤχετο δῖος ὑφορβὸς
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα. 590
Αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίατο ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
Αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ 595
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν,
τοὺς Ζεὺς ἐξολέσειε πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·

586. Ἄφρων, l'adjectif pour l'adverbe : sottement. — Ὀΐεται, pense. Ajoutez : au sujet des prétendants. — Ὅσπερ ἂν εἴη, quel qu'il puisse être. Ameis et La Roche, ὥς περ ἂν εἴη, leçon fournie par l'explication que donnent les *Scholies* H : ὥσπερ ἂν ἀποβαίη, ἵνα εἴπῃ ὑπό τι νοεῖ τὸ μέλλον. Cette leçon équivaut en effet à ὡς ἔσεταί περ, expression homérique bien connue, et qu'on verra encore, XIX, 312. Mais la vulgate donne un sens plus satisfaisant ; car il ne s'agit point de divination, et l'étranger n'a rien deviné du tout. — J'ajoute qu'il n'y a aucune raison paléographique de préférer ὥς περ à ὅσπερ, puisque l'écriture était primitivement la même. — Dindorf donne à εἴη l'iota souscrit, pour en faire un subjonctif : εἴῃ. Mais ce subjonctif est inconnu des anciens. La Roche : « conjunctivum si quis mavult, « non εἴῃ sed ἦῃ est scribendum. »

587. Ὧδε, à tel point : autant que le font les prétendants.

588. Ὑβρίζοντες.... Emprunt au vers III, 207.

589. Ὁ (lui) est précisé plus loin par δῖος ὑφορβός.

590. Μνηστήρων ἐς ὅμιλον. Eumée traverse la salle du festin, pour rejoindre Télémaque. — Διεπέφραδε, il eut montré : il eut expliqué à Pénélope. Voyez, VI, 47, la note sur le mot διεπέφραδε.

592. Ἄγχι σχών.... Voyez le vers I, 157 et les notes sur ce vers.

593. Κεῖνα, les choses de là-bas : les affaires de la campagne.

594. Σὸν καὶ ἐμὸν βίοτον, apposition explicative à κεῖνα.

595. Πρῶτα, avant tout. — Σάω, préserve. Voyez, XIII, 230, la note sur ce mot.

596. Δέ est explicatif, et il équivaut à γάρ. — Ἀχαιῶν. Ancienne variante, Ἀχαιοί.

599. Δειελιήσας, ayant attendu le déclin du jour : quand le soir sera venu. — Le mot est un ἅπαξ εἰρημένον, et les anciens discutaient sur le vrai sens de ce mot. Plusieurs voulaient qu'il s'agît d'un repas d'après-midi, d'un goûter. C'est l'interprétation qui a prévalu chez les modernes. Mais les Grecs des temps héroïques ne goûtaient pas. Ils n'avaient que trois repas, le déjeuner au saut du lit, le dîner au milieu du jour, le souper à la fin du jour : ἄριστον, δεῖπνον, δόρπον. Didyme (*Scholies* V) : πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος, τουτέστι τὴν μεσημβρίαν· ἢ τὴν ἑσπερινὴν διατρίψας. ἔνιοι δὲ τὴν δειλινὴν τροφὴν αἰτῶν. καὶ Καλλίμαχός φησι· δείελον αἰτίζουσιν, ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου, τὴν πρὸς τῇ

ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά· 600
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.
῝Ως φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου·
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος
βῆ ῥ' ἴμεναι μεθ' ὕας· λίπε δ' ἕρκεά τε μέγαρόν τε,
πλεῖον δαιτυμόνων· οἱ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ 605
τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

δειλινῇ τροφὴν αἰτοῦντες. οὐ δεόντως· προειρήκαμεν γὰρ ὅτι οἱ ἀρχαῖοι τρισὶ τροφαῖς ἐχρῶντο. Eustathe dit la même chose en d'autres termes : δειελιήσας ἀντι τοῦ ἕως δείλης διατρίψας ἐνταῦθα. διὸ περὶ δείελον ἦμαρ (vers 606) ὁ παραγγελθεὶς Εὔμαιος ἄπεισι. τὸ μέντοι εἰπεῖν δειελιήσας ἀντὶ τοῦ βρωματισάμενος τροφὴν δειλινήν, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. τὸ πολὺ γὰρ τρεῖς ἦσαν τροφαί, ἄριστα, δεῖπνα δόρπα τε, κατ' Αἰσχύλον. — Dans les vers 603-604, il ne s'agit nullement d'un nouveau repas. Eumée s'est remis à table pour achever son dîner. Les campagnards ont l'estomac robuste et complaisant. Le porcher reste longtemps à table ; voilà tout.

600. Ἰέναι et ἄγειν, l'infinitif dans le sens de l'impératif. Ordinairement ce n'était pas Eumée lui-même qui amenait les porcs au palais. Voyez le vers XIV, 108. Mais Télémaque a son idée, en lui commandant de venir le lendemain matin ; et Eumée, en serviteur fidèle, ne manquera pas d'exécuter l'ordre de son jeune maître. Voyez les vers XX, 162-163.

601. Τάδε, ces choses-ci : ce qu'il y a à faire ici. Télémaque répond à la phrase d'Eumée (vers 594), σοὶ δ' ἐνθάδε πάντα μελόντων.

602. Ἐϋξέστου ἐπὶ δίφρου. Ancienne variante, ἐπὶ θρόνου ἔνθεν ἀνέστη.

603. Πλησάμενος.... A la suite de ce vers, quelques anciens en mettaient un autre, qui dit la même chose en termes différents, et qui n'est que la répétition de ce qu'on a lu ailleurs, V, 95 et XIV, 3 : αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ. Didyme (*Scholies* H) dit qu'il faut absolument retrancher l'un des deux : περισσὸς ὁ εἷς· ἐκ τῶν β'. Il ne dit pas lequel. Peut-être conservait-il celui où il y a δείπνησε, comme confirmation du vrai sens de δειελιήσας. Mais on a eu raison de garder l'autre, qui n'est pas une simple répétition, et dont l'authenticité a été reconnue par les *Scholies de Venise*, à propos du vers I, 469 de l'*Iliade* (αὐτὰρ ἐπεὶ...), vers si souvent répété, et dont celui-ci est lui-même une imitation libre, mais évidente.

604. Βῆ ῥ' ἴμεναι.... Voyez le vers XVI, 341 et la note sur ce vers.

605. Πλεῖον.... Au lieu de ce vers, on lit celui-ci comme lemme, dans les *Scholies* H : οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδήν. L'autre est bien préférable ; car il n'y a pas un seul exemple de τέρπομαι avec εἰς. Mais les réflexions qui accompagnent le mauvais vers s'appliquent parfaitement au bon : μετὰ τροφὴν αἱ ἀοιδαί, πρὸ τροφῆς δὲ γυμνασία σώματος, δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες (IV, 626).

606. Δείελον ἦμαρ, le soir. *Scholies* B : ἡ δειλινὴ τῆς ἡμέρας. *Scholies* Q et V : τὸ τῆς δειλινῆς ὥρας κατάστημα. Eustathe : ἡ δείλη. Bothe : « Nota periphrasis quemadmodum et δούλιον ἦμαρ pro « δουλεία, μόρσιμον ἦμαρ pro μόρῳ et « similia passim Homerus dixit. »

ΟΔΥΣΣΕΙΑΣ Σ.

ΟΔΥΣΣΕΩΣ ΚΑΙ ΙΡΟΥ ΠΥΓΜΗ.

Le mendiant Irus se présente au palais, et veut en chasser Ulysse (1-13). Combat entre les deux mendiants, et défaite d'Irus (14-109). Ulysse est félicité par Amphinomus, un des prétendants, et lui donne en retour un salutaire conseil (110-157). Pénélope au milieu des prétendants; ses reproches à Télémaque; excuses de son fils (158-243). Entretien d'Eurymaque et de Pénélope; les prétendants comblent la reine de riches présents (244-303). Ulysse est injurié par Mélantho, sœur de Mélanthius, puis raillé et frappé par Eurymaque (304-404). La journée, grâce à l'intervention de Télémaque, se termine paisiblement (405-428).

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὃς κατὰ ἄστυ
πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ,
ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἲς
οὐδὲ βίη, εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.

1. Ἦλθε δ' ἐπί pour ἐπῆλθε δέ : puis survint. Voyez la note du vers XI, 84. — Πανδήμιος, courant par tout le peuple : habitué à quêter de porte en porte. Didyme (*Scholies* V) : ὁ κατὰ τὸν δῆμον ἐπαιτῶν καὶ δι' ὅλης τῆς πόλεως ἐπιών. *Scholies* B, H et Q : ὁ δι' ὅλης τῆς πόλεως ἐπαιτῶν.

2. Πτωχεύεσκ(ε). Le fréquentatif indique que c'était son métier de tous les jours. — Μετά doit être joint à ἔπρεπε : il excellait; il était le premier au monde. — Γαστέρι μάργῃ, par l'estomac sans raison, c'est-à-dire par une insatiable voracité. Didyme (*Scholies* H) : γαστριμαργίᾳ, ἀπληστίᾳ.

3. Ἀζηχές, sans fin. Didyme (*Scholies* V) : διηνεκὲς, ἀδιάλειπτον. En effet, l'adjectif ἀζηχής est pour ζαεχής, διαεχής synonyme renforcé de συνεχής. — Φαγέμεν καὶ πιέμεν, comme ὥστε φαγεῖν καὶ πιεῖν : au point de manger et boire. — Ἶς et βίη sont des termes synonymes. Le poëte les joint ensemble pour bien marquer que le personnage n'a que de l'apparence. Cependant quelques anciens prétendaient distinguer sérieusement les deux mots. Eustathe : ἲς δὲ διαφέρει βίας, ὅτι αὐτὴ μὲν ἐπὶ νεύρων κυριολεκτεῖται. ἡ βία δὲ ἐπὶ ἰσχύος ἢ ῥώμης. Cela est vrai étymologiquement, mais non pas dans l'usage d'Homère. Cherchez la différence des deux mots dans ses locutions ἲς Τηλεμάχοιο et βίη Ἡρακληείη.

4. Εἶδος, quant à l'extérieur : de sa personne. — Ὁράασθαι, comme ailleurs, ἰδέσθαι : à être vu, c'est-à-dire au regard, pour les yeux.

Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ 5
ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι·
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·
Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ. 10
Οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; Ἐγὼ δ' αἰσχύνομαι ἔμπης.
Ἀλλ' ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Δαιμόνι', οὔτε τί σε ῥέζω κακὸν οὔτ' ἀγορεύω, 15
οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ' ἀνελόντα.

5. Ἀρναῖος. Il y a, dans les *Scholies* B et Q, trois ou quatre étymologies de ce nom; mais il nous importe peu de savoir ce qu'il signifie proprement. — Ὄνομ(α) est au nominatif, comme au vers XIX, 183. — Ἔσκε, sous-entendu αὐτῷ. — Πότνια est l'épithète de toute mère. Il n'y a donc pas à s'étonner d'entendre le poëte qualifier de respectable la mère d'un mendiant. La correction οἵ ποτε, au lieu de πότνια, est une bévue d'Alexandrin.

6. Ἐκ γενετῆς. Ancienne variante, ἐκ γενεῆς. Mais la vulgate est préférable. C'est le terme propre, puisqu'il s'agit du jour de la naissance. — Ἶρον, d'après ce qui suit, signifie messager. Il est évident que le nom a été imaginé en conformité avec celui d'Iris, la messagère des dieux. *Scholies* B : ἀπὸ τοῦ Ἶρις ἡ ἄγγελος τῶν θεῶν. On rapportait d'ailleurs les deux noms au verbe εἴρω, dire. *Scholies* Q : Ἶρος παρὰ τὸ εἴρω τὸ λέγω, ὁ τὰς ἀγγελίας κομίζων· λέγει γάρ, οὕνεκ' ἀπαγγελίας (ἀπαγγέλλεσκε). *Scholies* V : παρὰ τὸ εἴρειν. Mais rien n'est moins incontestable que cette étymologie. — Νέοι.... ἅπαντες. Il s'agit des prétendants. Voyez νέοι, XVII, 479, et la note sur ce mot.

8. Ὅς démonstratif : cet individu. — Διώκετο dans le sens actif : chassait, c'est-à-dire voulut chasser. Didyme (*Scholies* V) : ἐδίωκεν. Aristarque (*Scholies* B et H) : (ἡ διπλῆ, ὅτι) παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ.

11. Οὐκ ἀΐεις équivaut à οὐχ ὁρᾷς, comme οὐχ ὁρᾷς, XVII, 545, équivaut à οὐχ ἀΐεις : ne remarques-tu point? — Ἐπιλλίζουσιν, font signe des yeux. Didyme (*Scholies* B et Q) : διανεύουσι τοῖς ὀφθαλμοῖς. Ἴλλοι γὰρ οἱ ὀφθαλμοί, ἀπὸ τοῦ εἰλεῖσθαι, ὅθεν τὸ δενδίλλων (*Iliade*, IX, 180). Les deux lambda sont indispensables dans le mot. Aristarque (*Scholies* H) : (ἡ διπλῆ, ὅτι) ἐπιλλίζουσιν διὰ δύο λλ. — Apollonius donne le sens propre et primitif : ἐπιλλίζειν ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐπικατακλᾶν. Horace, *Satires*, I, IX, 64-63 : « ....nutans, « Distorquens oculos, ut me eriperet. » — Le verbe ἴλλω est identique à εἰλύω, et se rattache, comme le latin *volvo*, à la racine Ϝελ ou Ϝαλ (rouler). Il est douteux que ἴλλος ait jamais signifié œil; mais il est certain que ἰλλός signifie louche, qui a l'œil de travers. L'idée d'œil est donc implicitement contenue dans ἐπιλλίζουσιν, si elle n'est pas réellement exprimée.

12. Ἑλκέμεναι, sous-entendu σέ : de te traîner.

13. Ἄνα pour ἀνάστηθι : lève-toi. Ajoutez : et pars d'ici. — Καὶ χερσί, même par les mains. Ajoutez : et non plus seulement en paroles.

15-16. Οὔτε τί σε ῥέζω κακόν.... Ulysse énumère toutes les raisons qui devraient déterminer Irus à le laisser en paix. Didyme (*Scholies* H) : ἐκ παντὸς τὸ ἀνενόχλητον αὐτοῦ δηλοῖ.

16. Δόμεναι, sous-entendu σοί : de te

Οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται· οὐδέ τί σε χρὴ
ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης
ὥσπερ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
Χερσὶ δὲ μή τι λίην προκαλίζεο, μή με χολώσῃς, 20
μή σε γέρων περ ἐὼν στῆθος καὶ χείλεα φύρσω
αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀΐω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τὸν δὲ χολωσάμενος προσεφώνεεν Ἶρος ἀλήτης· 25
Ὢ πόποι, ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,
γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην

faire l'aumône. — Καὶ πόλλ' ἀνελόντα, même ayant pris beaucoup de choses : quand même il te donnerait beaucoup, c'est-à-dire quand même je le verrais te combler de ses largesses.

17. Χείσεται de χανδάνω : contiendra, c'est-à-dire offre assez de place pour. Didyme (*Scholies* B, Q et V) : χωρήσει. *Scholies* B et Q : Δημήτριος δέ φησιν ὅτι ἀττικίζων ὁ ποιητὴς ἀντὶ τοῦ δέξεται (lisez χήσεται) χείσεται εἶπεν. Cette note ne porte que sur l'orthographe du mot, comme on le voit par l'observation d'Eustathe : Ἰστέον δὲ ὅτι τὸ χείσεται δηλοῖ μὲν τὸ χωρήσει, γράφεται δὲ παρὰ τοῖς παλαιοῖς κοινότερον διὰ διφθόγγου. Ceci veut dire que l'orthographe des Alexandrins est χείσεται, et non χήσεται.

18. Ἀλλοτρίων, au sujet de choses étrangères, c'est-à-dire de choses qui ne dépendent pas de toi. Ulysse veut dire qu'il ne fait aucun tort à Irus, qu'il ne lui prend rien à lui-même, et que les prétendants sont bien libres de faire leurs aumônes comme ils l'entendent. *Scholies* Q : οὐ γὰρ ἀπὸ τῶν σῶν λήψομαι. *Scholies* B, H et Q : οὕτως ἡ σύνταξις· οὐ χρή σε φθονεῖν μοι τῶν ἀλλοτρίων.

19. Ὄλβον.... ὀπάζειν, sous-entendu ἡμῖν. *Scholies* B et Q : μέλλουσι δὲ οἱ θεοὶ εὐδαιμονίαν ἡμῖν παρέχειν. ἄδηλον γὰρ τὸ τῆς τύχης ῥεῦμα. Ulysse parle ironiquement; car ce n'est pas sur des gens de l'espèce d'Irus que les dieux distributeurs de l'opulence répandent leurs bienfaits. Ameis : *eine Bettlerironie*. — La phrase signifiait même, selon quelques anciens : « Tu vois bien que nous ne sommes pas des favoris de la fortune. » *Scholies* Q et V : ἐοίκασι δὲ οἱ θεοὶ δωρητικοὶ εἶναι εὐδαιμονίας, ὥστε οὐ φαίνονται ἡμῖν ἵλεω.

21-24. Μή σε γέρων περ ἐών.... *Scholies* B et Q : ὅλον συνῆπται τὸ νόημα οὕτως· μήπως σε αἵματος πληρώσω, καὶ πλέον ἡσυχίαν ἐμαυτῷ ποιήσω αὔριον. εἰ γὰρ σὺ πληγείης, οὐκέτι ἐνταῦθα ἥξεις, καὶ εὑρίσκομαι ἐκτὸς ὧν μάχης, σοῦ μηκέτι ἐλθόντος.

ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο. 345
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
Τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν,
κερτομέων Ὀδυσῆα· γέλω δ' ἑτάροισιν ἔτευχεν· 350

338. Ἦ, pour sûr. Didyme (*Scholies* H) : ὄντως τάχα τῷ Τηλεμάχῳ λέγω οἷα ἀγορεύεις, ὦ κύον.

339. Κεῖσ(ε), là-bas. Il montre le côté de la salle où est assis Télémaque. Eustathe : κεῖσε ἐλθών, ἔνθα δηλαδὴ κάθηται. — Διά doit être joint à τάμῃσιν. — Μελεϊστί, membre par membre. Didyme (*Scholies* H) : μεληδόν · ἵνα σε ἐπὶ τόπῳ διατάμῃ μελεϊστί. Le lemme de la scholie est διαμελεϊστί. Mais la scholie elle-même prouve que c'est là une leçon fausse, ou plutôt que le lemme est mutilé, et qu'il devrait être, διὰ μελεϊστὶ τάμῃσιν. On a vu μελεϊστὶ ταμών, *Iliade*, XXIV, 409.

340. Διεπτοίησε, il remplit de terreur. Quelques anciens affaiblissaient un peu le sens : il mit en déroute. *Scholies* B : διεσκόρπισε. Mais les vers 341 et 342 prouvent qu'il faut donner au mot la signification la plus énergique. La déroute n'est que l'effet de la terreur.

341. Λύθεν δ' ὑπὸ γυῖα ἑκάστης équivaut à γούνατα γὰρ αὐτῶν ἐλύθησαν, soit qu'on joigne ὑπό à λύθεν, soit qu'on en fasse, ce qui vaut mieux, un adverbe (*subtus*, par-dessous, c'est-à-dire sous elles). Leurs jambes fléchissent, et ne les portent plus. Voyez plus haut, vers 212, la note sur λύτο γούνατ(α).

342. Ταρβοσύνῃ, par l'effet de la crainte. — Φάν, elles disaient : elles pensaient. — Μιν ἀληθέα μυθήσασθαι, qu'il avait dit des choses vraies : qu'il ferait réellement ce qu'il avait dit.

343. Φαείνων, éclairant : entretenant la flamme.

344. Ἑστήκειν, *vulgo* εἱστήκει, quelques-uns εἱστήκειν. Devant une voyelle, Homère ajoute le ν, et l'on sait qu'il néglige l'augment dans le verbe ἵστημι. L'orthographe ειν est d'ailleurs plus qu'une application de la règle d'analogie. Eustathe : εὕρηται καὶ εἱστήκειν, κατὰ τὸ ᾔσκειν εἴρια καλά (*Iliade*, III, 388). — Ἄλλα, des choses autres, c'est-à-dire des choses qui n'avaient rien de commun avec cette occupation servile. Il combine son plan pour la destruction des prétendants.

345. Οὐκ ἀτέλεστα, non inexécutées, c'est-à-dire, selon la force du tour négatif, parfaitement accomplies.

348. Δύη pour δυίη à l'optatif, *vulgo* δύῃ au subjonctif. Voyez, IX, 377, la note sur ἀναδύη. L'orthographe est indifférente quant au sens : *subiret*, pénétrât. Eustathe : ὑπεισέρχηται.

349. Τοῖσιν δ' Εὐρύμαχος,... Répétition du vers XVI, 345.

350. Γέλω est à l'accusatif, pour γέλωτα. Bekker, γέλον. — La vulgate γέλων est inadmissible ; et c'est par erreur qu'elle figure comme lemme dans les *Scholies* H et V. La Roche : « Γέλων, quod analogiæ

Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
καὶ κεφαλῆς, ἐπεὶ οὔ οἱ ἔνι τρίχες οὐδ' ἠβαιαί. 355
Ἦ ῥ', ἅμα τε προσέειπεν Ὀδυσσῆα πτολίπορθον·
Ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,

« repugnat, nolui recipere, sed acquievi in « forma usitata γέλω, quamquam nihil ob- « stat quin cum Bekkero scribas γέλον. « Constat enim ο et ω in libris sæpissime « permutari. » L'écriture archaïque n'a pu être que ΓΕΛΟ ou ΓΕΛΟΝ, et la seule transcription légitime est γέλω ou γέλον. — La note de Didyme (*Scholies* V), γέλω γέλωτα, Ἀττικῶς, signifie non point qu'il y a une forme attique γέλως, γέλω, mais que l'accusatif γέλωτα, après l'apocope, ressemble à ce que serait l'accusatif de γέλως, γέλω. Elle signifie aussi qu'on pourrait, à la rigueur, supposer l'accusatif γέλων, concurrent attique de γέλω, et s'en servir comme transcription de l'archaïque ΓΕΛΟΝ. Rien n'empêche d'admettre, chez Homère, γέλος pour γέλως et γέλον pour γέλωτα, d'après les exemples homériques ἔρος et ἔρον. Mais ce n'est qu'une hypothèse, tandis que l'accusatif γέλω est un fait. — Ἑτάροισιν ἔτευχεν. Ancienne variante, ἄρα τοῖσιν ἔτευξεν.

352. Κελεύει. Ancienne variante, ἀνώγει.

353. Οὐκ ἀθεεί, non sans un dieu: grâce à quelque dieu. Voyez plus haut la note du vers 345. Horace (*Odes*, III, IV, 20), a dit, à la façon d'Homère, *non sine dis*. Didyme (*Scholies* V) : οὐκ ἄνευ θεοῦ. *Scholies* B : οὐ δίχα προνοίας θεοῦ.

354. Ἔμπης.... Construisez : σέλας δαΐδων δοκέει μοι ἔμμεναι ἔμπης καὶ κεφαλῆς αὐτοῦ. Le mot ἔμπης (tout à fait), suivi de καί (aussi) signifie *tout à la fois*. Le crâne du vieillard reflète la lumière; et le plaisant dit que sa tête semble lumineuse par elle-même, qu'elle est un vrai pot à feu. *Scholies* B : ὁμοίως μοι δοκεῖ εἶναι τὸ σέλας τῶν δαΐδων καὶ τῆς κεφαλῆς αὐτοῦ. Aristarque (*Scholies* H) avait expliqué de même : (ἡ διπλῆ, ὅτι) ἔμπης ἀντὶ τοῦ ὁμοίως, ὡς τὸ ἔμπης εἰς γαῖάν τε καὶ οὐρανόν (*Iliade*, XIV, 174). Didyme (*Scholies* V) parle comme le maître : ἔμπης νῦν ἀντὶ τοῦ ὁμοίως. — Σέλας. *Scholies* H : τὸ σέλασμα. — Αὐτοῦ, selon Ameis, est adverbe ; et Eurymaque montre le mendiant : *dort, hinweisend nach dem Bettler*. Cette explication ajoute un trait au tableau; mais elle est arbitraire. Bothe a raison d'identifier αὐτοῦ καὶ κεφαλῆς à καὶ κεφαλῆς αὐτοῦ. Voyez un peu plus haut la note des *Scholies* B. Une pareille hyperbate n'a rien d'extraordinaire.

355. Καὶ κεφαλῆς. Quelques-uns proposent de lire κὰκ κεφαλῆς. Mais ce n'est là qu'une simple conjecture; et cette correction est d'ailleurs parfaitement inutile. Nos plaisanteries vulgaires sur les chauves ne fournissent rien du tout d'analogue à celle d'Eurymaque; mais les Allemands comparent les crânes dénudés à la pleine lune, à la lune qui brille. Bothe : « Etiam « caput Ulyssis splendere ait, ut faces, « propter calvitiem, quam nostrates joco « simili dicere audivi *Mondschein*. Id pro- « digii loco se habere fingit Eurymachus. » Ameis : « Auf æhnliche Weise sagen bei « uns die Leute im Scherz von einem « kahlkœpfigen Manne : Der hat auch « *Mondschein* oder auch Vollmond auf « dem Kopfe. » — Ἔνι est pour ἔνεισι.

357-359. Ξεῖν', ἦ.... *Scholies* B et Q : τὸ ἑξῆς, εἴ σ' ἀνελοίμην ἀγροῦ ἐπ' ἐσχατιῆς, ἄρα ἐθελήσεις θητεύειν αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων; μισθὸς δέ τοι ἄρκιος ἔσται.

357. Ἦ ἄρ, c'est-à-dire ἦ ἄρα, en prose ἄρα : est-ce que. — Εἴ σ' ἀνελοίμην, si je te prenais : si je t'offrais un engagement. Eustathe : περιττὴ συνήθως ἡ ἀνά πρόθεσις, ὡς καὶ πρὸ ὀλίγων (vers 89) ἐν τῷ ἀναγον τὸν Ἶρον. κυρίως μέντοι ἀνελέσθαι τὸ κάτωθέν τι λαβεῖν, ὃ διάφορόν ἐστι πρὸς τὸ καθελεῖν.

ἀγροῦ ἐπ' ἐσχατιῆς (μισθὸς δέ τοι ἄρκιος ἔσται),
αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων;
Ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι, 360
εἵματα δ' ἀμφιέσαιμι, ποσίν θ' ὑποδήματα δοίην.
Ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 365
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,

358. Ἀγροῦ ἐπ' ἐσχατιῆς, d'après la scholie citée dans la note des vers 357-359, suppose ὤν sous-entendu, ou ὄντα σε. Il est plus naturel de le rapporter à θητευέμεν. Avec notre ponctuation, cela est même à peu près indispensable; car l'autre explication semble exiger la suppression de la virgule entre ἀνελοίμην et ἀγροῦ. Mais de toute façon l'idée reste la même. — Ἄρκιος, satisfaisant. *Grand Étymologique* Miller : ἄρκιον· ἱκανόν, ὠφέλιμον· μισθὸς δέ τοι ἄρκιος ἔσται.

359. Αἱμασιάς, des branches d'épine, c'est-à-dire de quoi te faire une clôture. Voyez, XXIV, 224, αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος. Mais les Alexandrins, dans ces deux passages, faisaient de αἱμασιά un synonyme de χάλιξ, parce qu'on faisait les clôtures avec des cailloux ramassés. Didyme (*Scholies* V) : τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. *Scholies* B, H et Q : τοὺς ἐκ χαλίκων φραγμοὺς χωρίων. χάλικες δὲ οἱ τεθραυσμένοι καὶ μικροὶ λίθοι. Eustathe : ἰστέον δὲ ὅτι δοκεῖ ἐξ ἀκανθῶν ποτὲ ἡ αἱμασιὰ οὖσα ἐκεῖθεν σχεῖν τοὔνομα, παρὰ τὸ αἱμάσσειν· καὶ παρέμεινεν ἡ κλῆσις ἐκείνη, καὶ ὕστερον τοῖς ἐκ χαλίκων κτίσμασι, καθὰ, σὺν ἄλλαις πολλαῖς ὁμοιότησι, καὶ τοῖς βιβλίοις ὁ πύξος (le nom de πύξος, buis, tablettes de buis) ἐνέμεινε διὰ τὸ πάλαι ποτὲ πυξία κυρίως αὐτὰ εἶναι. — C'est probablement le travail qu'Eumée avait fait qui a décidé les Alexandrins à préférer le sens dérivé. Mais Eumée était une exception; et les thètes se contentaient probablement de la clôture la plus primitive. Rien n'empêche donc de prendre αἱμασιάς au propre. — Λέγων, recueillant : ramassant. D'après l'explication alexandrine, αἱμασιὰς λέγειν signifie bâtir avec des cailloux ramassés, faire un mur de pierres roulées. Didyme (*Scholies* V) : λέγων· οἰκοδομῶν ἐκ συλλέκτων λίθων. *Scholies* B, H et Q : λέγων δὲ, ἀντὶ τοῦ οἰκοδομῶν ἐκ πολλῶν καὶ λογάδων λίθων. Ces deux notes sont l'une et l'autre, comme on s'en aperçoit incontinent, la suite et la fin de celles que j'ai citées à propos de αἱμασιάς. — Μακρά, grands, c'est-à-dire qui deviendront grands. Ils ne le sont pas quand on les plante. Eustathe : οὐ τὰ τοιαῦτα ὄντα ἐν τῷ φυτεύεσθαι, ἀλλ' ὕστερον.

361. Ποσίν, pour les pieds : pour te chausser. — On a vu, XVI, 369, un vers analogue à celui-ci.

362-364. Ἀλλ' ἐπεὶ οὖν.... Répétition appropriée des vers XVII, 226-228. Voyez les notes sur ce passage.

366. Εἰ γάρ exprime un souhait : *oh! si; je voudrais que.*

367. Ὅτε τ(ε) précise le moment. Ce n'est qu'à la fin du printemps que les jours sont grands. C'est aussi à la fin du printemps que les premiers foins sont mûrs et qu'on les fauche. — Ἤματα μακρὰ πέλονται, les grands jours sont : on est dans les grands jours. L'explication vulgaire, qui rapporte μακρά à πέλονται, présente des difficultés. Les enstatiques chicanaient Homère au sujet de son expression, ὥρῃ ἐν εἰαρινῇ, parce que, si l'on est dans les vrais grands jours, on est en été. Les lytiques accordaient, à ce qu'il paraît, qu'Homère, en disant le printemps, mais en mo-

ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,
καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου,
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη. 370
Εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵπερ ἄριστοι,
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
ἥλικες, ἰσοφόροι, τῶντε σθένος οὐκ ἀλαπαδνὸν,
τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ·

difiant ensuite sa pensée, a voulu en effet dire l'été. Les Alexandrins n'ont point admis cette concession; mais ils ont supposé que πέλονται équivalait à γίνονται. Aristarque (*Scholies* B) : (ἡ διπλῆ, ὅτι) πέλονται ἀντὶ τοῦ γίνονται, πρὸς τὴν παρουσίαν τοῦ θέρους. Il est évident que les deux mots peuvent à la rigueur être considérés comme synonymes. Mais cette explication n'a pas toute la précision désirable; car les jours grandissent, μακρὰ γίνονται, aussitôt après le solstice d'hiver. C'est arbitrairement qu'Aristarque ajoute, πρὸς τὴν παρουσίαν τοῦ θέρους : ou bien, si l'on veut, il ne fixe le moment qu'en vertu du contexte, qui parle de la fenaison. En rapportant μακρά à ἤματα, on a l'avantage de ne faire aucune hypothèse, de laisser à πέλονται son sens propre, et de trouver, dans le texte même, l'exacte indication du moment : les grands jours du printemps, l'approche du solstice d'été. Porphyre (*Scholies* Q) résume comme il suit les discussions des anciens sur le vers 367 : ζητοῦσι πῶς τὰς ἐαρινὰς ἡμέρας μακρὰς εἶπεν. ὅθεν ἠναγκάσθησάν τινες λέγειν ὅτι ἐαρινὴ τέθεικεν ἀντὶ τοῦ θερινή. ῥητέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ πέλει καὶ ἄλλο τὸ πέλονται· τὸ μὲν γὰρ σημαίνει τὸ εἶναι, τὸ δὲ τὸ γίνεσθαι. ἐν δὲ τῷ ἔαρι μακραὶ γίνονται αἱ ἡμέραι, εἰς γένεσιν ἀγόμεναι τῶν μακρῶν.

368. Ἐν ποίῃ, dans un herbage : dans un pré où les foins sont bons à faucher. Eustathe : ποίη ὁ κατὰ τὸ ἔαρ δρεπόμενος ἢ κειρόμενος χόρτος. — Suivant quelques anciens, ἐν ποίῃ signifie dans un blé en herbe. *Scholies* Q : ἐν δημητριακῷ χόρτῳ. ἐν σιτοφορῷ χωρίῳ. Il est vrai que, dans les contrées du Midi, on fauche les blés en herbe au moins une fois, parce qu'ils sont trop drus au printemps, et que c'est double bénéfice. Les blés s'en trouvent bien, et l'on a pour les bestiaux d'excellent fourrage. Mais il n'y a aucune raison de ne pas laisser au mot ποίη son sens propre.

369. Καὶ δέ est dans le sens de καὶ δή. — Τοῖον, sous-entendu δρέπανον : une pareille faux.

370. Νήστιες, sans manger, c'est-à-dire en travaillant sans prendre aucun repos, même pour manger. Il va sans dire que les deux faucheurs auront déjeuné avant de se mettre à la besogne. La traduction *jejuni* n'est exacte que sous cette restriction. — Ποίη δὲ παρείη, et que de l'herbe fût là : et qu'il y eût assez d'herbe pour que nous pussions faucher jusqu'à la nuit *Scholies* B et Q : μὴ ἐπιλείποι ὁ θερισμός

371. Βόες, des bœufs : une paire de bœufs attelés à une charrue. — Οἵπερ ἄριστοι, c'est-à-dire ἐκείνων οἳ ἄριστοί εἰσι : de ceux-là qui sont les meilleurs; qui soient des bêtes de premier choix. Au lieu de οἵπερ, quelques anciens lisaient ὥσπερ, terme trop vague.

372. Αἴθωνες, au poil luisant. C'est le signe qu'ils sont en bon état. Quelques-uns entendent, par αἴθωνες, une couleur spéciale; mais ils ne sont pas d'accord sur cette couleur. *Scholies* B et Q : πυρροὶ ἢ μέλανες. La couleur n'importe guère ici. Cependant on pourrait à la rigueur admettre qu'il s'agit du roux brun, pelage particulièrement estimé dans les bêtes à cornes.

373. Ἥλικες, ἰσοφόροι, de même âge, de même force. Didyme (*Scholies* H) : ὁμήλικες, ἴσως ἕλκοντες καὶ φέροντες. Hérodien (mêmes *Scholies*) : παροξυτονητέον τὸ ἰσοφόροι. κατὰ γὰρ ἐνέργειαν ἡ σύνθεσις. Ceci veut dire que le composant principal est le verbe, ou le mot qui équivaut à un verbe, c'est-à-dire φόροι. — Οὐκ ἀλαπαδνόν, non faible : tout à fait vigoureuse.

374. Τετράγυον, adjectif pris substan-

τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην. 375
Εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη καὶ δύο δοῦρε
καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα·
τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις. 380
Ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
Εἰ δ' Ὀδυσεὺς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα, 385
φεύγοντι στείνοιτο διὲκ προθύροιο θύραζε.

tivement : un terrain de quatre gyes. Quelle que soit la surface précise d'une gye, il est évident qu'Ulysse parle d'un terrain pouvant fournir pour le moins à une journée de labour, et même d'un grand terrain. Voyez, VII, 113, la note sur τέτράγυος. — Εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ, c'est-à-dire καὶ βῶλος ὑπείκοι ἀρότρῳ : et que la glèbe cédât à la charrue; et que le sol fût vraiment arable. Bothe : « Descriptio soli arabilis, nec lapidosi. » Ulysse ne peut pas s'engager à faire l'impossible.

375. Τῷ, alors : une fois ces conditions remplies. *Scholies* B et H : διὰ τοῦτο ἄν με ἴδοις, διὰ τὸ εἶναι βόας. — Διηνεκέα, *perpetuum*, de bout en bout. Didyme (*Scholies* P et V) : τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. *Scholies* B et H : διηνεκέα ἀντὶ τοῦ διηνεκῶς, ἀπὸ μιᾶς ὁρμῆς. Ulysse dit que son attelage marcherait d'un pas ferme et égal, et que le sillon serait tracé bien droit; par conséquent que le labour serait parfait, et cela durant toute la journée.

379. Τῷ, comme au vers 375. — Πρώτοισιν, joint à προμάχοισι, n'est point un pléonasme. Parmi ceux qui combattent en tête de l'armée, il y a encore des rangs. Ulysse dit qu'il ne céderait sa place au premier rang à personne, et qu'il y serait avec les plus vaillants.

380. Οὐδ' ἄν μοι.... *Scholies* B et H : οὐδ' ἂν φλυαροίης, ὀνειδίζων μοι τὴν γαστέρα.

383. Πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν. Cette petite troupe d'individus lâches et vulgaires, ce sont les prétendants. La belle gloire d'être quelqu'un dans un pareil monde! On sent, sous les paroles d'Ulysse, la juste fierté d'un homme qui a été compté comme un des plus grands parmi les plus illustres héros.

384. Εἰ δ' Ὀδυσεὺς.... Répétition du vers XVII, 539.

385. Τοι est pronom, et sujet de φεύγοντι. *Scholies* H : αἶψά κέ τοι φυγόντι. οὕτως τὸ ἑξῆς. — Τὰ θύρετρα, ces portes, c'est-à-dire cette porte à deux battants. Il montre la porte qui mène à la cour, la plus large de toutes les portes du palais.

386. Φεύγοντι. Ancienne variante, φεύγων τις. Avec cette leçon, le τοι du vers précédent serait adverbe; τὰ θύρετρα dépendrait de φεύγων, comme s'il y avait διαφεύγων, et στείνοιτο se rapporterait à la personne même : il se trouverait serré; il ne trouverait pas la porte assez large. Cette leçon avait des partisans; et peut-être Didyme était-il l'un d'eux, car c'est elle que commente la note des *Scholies* V : οὕτως ταρασσόμενος διὰ τῶν θυρῶν φύγης, ὡς δοκεῖν στενοχωρεῖσθαι. On comprend très-bien qu'alors le fuyard serait Eurymaque. Mais toutes les autres explications antiques se rapportent à la vulgate. Voyez ce qui suit. — Στείνοιτο, se rétrécirait : deviendrait trop étroite. *Scholies* H : στενὰ γένοιντο. Ancienne variante, στένοιντο. Cette leçon est un témoignage

Ὣς ἔφατ'· Εὐρύμαχος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Ἆ δειλ', ἦ τάχα τοι τελέω κακὸν, οἷ' ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ 390
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
[Ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;]
Ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος, 395
Εὐρύμαχον δείσας· ὁ δ' ἄρ' οἰνοχόον βάλε χεῖρα
δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
αὐτὰρ ὅγ' οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσιν.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·

de plus en faveur de la vulgate; car elle ne peut se comprendre qu'avec θύρετρα pour sujet. — Διὲκ προθύροιο. Anciennes variantes, καὶ ἐκ προθύροιο et δι' ἐκ μεγάροιο. Celle-ci est la leçon de Rhianus. Avec cette leçon, δι(ά) devait être joint à φεύγοντι ou à φεύγων. Les *Scholies* B et Q expliquent de la même manière que les *Scholies* V, mais en conformité avec la vulgate, l'illusion du fuyard : οὕτως ταραχθήσεσθαι ὡς δοκεῖν τὰς θύρας στενὰς εἶναι.

387-388. Ὣς.... Répétition, *mutato nomine*, des vers XVII, 458-459.

389. Τελέω est au futur. — Οἷ' ἀγορεύεις, vu les choses que tu dis : à raison des impertinences que tu débites. Didyme (*Scholies* H) : δι' οἷα.

390. Πολλοῖσι μετ' ἀνδράσιν est une réponse à l'expression méprisante du vers 383, παύροισι. Bothe : « Multi esse videntur proci Eurymacho, quos paucos « dixit Ulysses, magnum ille cogitans Græcorum exercitum, quocum Trojam profectus est. »

392. Ὃ, c'est pourquoi. Voyez plus haut la note du vers 332.

393. Ἦ ἀλύεις,... Répétition inutile du vers 333. On se rappelle que les vers 330-333 étaient identiques aux vers 390-393. Là c'étaient les trois premiers vers qui n'étaient point à leur place; ici c'est le quatrième vers qui est interpolé.

394. Σφέλας ἔλλαβεν, il prit un escabeau. Il veut faire ce qu'a fait Antinoüs, XVII, 462-463.

396. Ὁ, lui : Eurymaque. — Βάλε, frappa : atteignit de son projectile.

396-397. Χεῖρα δεξιτερήν, au bras droit.

397. Πρόχοος, la cruche. Les échansons mêlaient de l'eau avec le vin. L'échanson dont il s'agit ici venait de verser de l'eau dans un cratère ou vase à mélange, et tenait sa grande aiguière à la main droite. L'expression βόμβησε πεσοῦσα fait comprendre que cette cruche était en métal et qu'elle était vide.

398. Ὅγ(ε), c'est-à-dire οἰνοχόος : l'échanson.

399-400. Μνηστῆρες.... Répétition des vers IV, 768-769. — Les anciens ont voulu expliquer pourquoi Ulysse était allé s'asseoir près d'Amphinomus, et non ailleurs, par exemple aux pieds de Télémaque. La raison qui se présente d'elle-même, c'est qu'Ulysse se jette à droite ou à gauche, pour éviter le projectile, et que l'endroit où il s'arrête et s'assied était celui où se trouvait Amphinomus. On peut y ajouter qu'Amphinomus était un des moins mauvais parmi les prétendants. Voyez XVI, 498. Mais comment Ulysse aurait-il pu le deviner? Les anciens supposaient encore autre chose. *Scholies* Q : Τηλέμαχον γὰρ οὐχ ἱκανὸν ἐπίκουρον δοκεῖ εἶναι καὶ προσκρούειν αὐτοῖς διασώζειν πειρώμενον τὸν ξένον. ὁ δὲ Ἀμφίνομος, εἰ καὶ προσέκρουσε τοῖς λοιποῖς, ἐλυσιτέλει τῷ

ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον· 400
Αἴθ' ὤφελλ' ὁ ξεῖνος ἀλώμενος ἄλλοθ' ὀλέσθαι
πρὶν ἐλθεῖν· τῷ κ' οὔτι τόσον κέλαδον μετέθηκεν.
Νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν, οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἴς Τηλεμάχοιο· 405
Δαιμόνιοι, μαίνεσθε καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ' ὀροθύνει.
Ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ' οὔτιν' ἔγωγε.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες 410

Ὀδυσσεῖ τῷ στασιάζειν πρὸς ἀλλήλους τοὺς μνηστῆρας. Eustathe : ἰστέον δὲ ὅτι δεξιώτατα Ὀδυσσεὺς δοκεῖ προσφεύγειν τῷ Ἀμφινόμῳ, εἴ πως σχοίη συγκροῦσαι τοὺς μνηστῆρας ἀλλήλοις, ἐπικουρήσαντος μὲν ἐκείνου τῷ ξένῳ, ἀπαρεσθέντων δὲ τῶν ἄλλων μνηστήρων. Ce ne sont là que des subtilités.

401. Ἀλώμενος, en errant : durant ses courses vagabondes. — Ἄλλοθ(ι), ailleurs, c'est-à-dire loin d'ici.

402. Μετέθηκεν. Ancienne variante, μετέθηκαν, correction mauvaise. Didyme (*Scholies* H) : πᾶσαι μετέθηκεν, ἀντὶ τοῦ ἐν ἡμῖν ἔθηκεν.

403-404. Οὐδέ τι.... Passage emprunté à l'*Iliade*, I, 575-576.

404. Τὰ χερείονα, de pareilles misères. — Νικᾷ, triomphent, c'est-à-dire vous absorbent tout entiers.

405. Τοῖσι δὲ.... Voyez le vers II, 409 et la note sur ce vers.

406. Δαιμόνιοι est dit en mauvaise part, mais dit ironiquement : gens que j'admire. Aristarque (*Scholies* H) : (ἡ διπλῆ, ὅτι) δαιμόνιοι, θαυμάσιοι ἐπὶ κακῷ. — Οὐκέτι κεύθετε, vous ne cachez plus, c'est-à-dire vous faites éclater. Bothe : « Non « amplius eos occultare ait animo cibum « ac potum, hoc est effectum cibi et potus, « præsertim immodici, ebrietatem insa« niamque. » — Θυμῷ, d'après l'explication vulgaire, se rapporte à κεύθετε, et signifie κατὰ θυμόν : intérieurement. Aristarque l'expliquait comme ὑπὸ θυμοῦ : par colère; par une passion violente. *Scholies* B, H et Q : (ἡ διπλῆ, ὅτι) θυμῷ ἀντὶ τοῦ ὑπὸ θυμοῦ, ὡς Ἀχιλῆϊ δαμασθείς (*Iliade*, XXII, 55), ὅ ἐστιν ὑπὸ ἀλόγου κινήσεως. οὐ κρατεῖτε τῆς τροφῆς, ἀλλ' αὕτη μᾶλλον ὑμῶν ἐπικρατεῖ καὶ παρασκευάζει ὑμᾶς ἐξάγεσθαι εἰς ἀταξίας.

407. Βρωτύν et ποτῆτα, la cause pour l'effet. Ils montrent qu'ils ont trop bien soupé. — D'après une note des *Scholies* H, on devrait écrire βρῶτυν, propérispomène. Mais cela est impossible. La Roche dit avec raison que cette note ne peut convenir qu'à ποτῆτα. — Οὐδέ. Ancienne variante, ἠδέ. C'est le même sens, que la négation soit ou non doublée. Mais le doublement de la négation donne plus de vigueur à la phrase. — Υ̓́μμ(ε), éolien pour ὑμέας, la forme épique ordinaire.

409. Διώκω δ' οὔτιν' ἔγωγε, car quant à moi je ne chasse personne : car je laisse à chacun la liberté de rester ou de partir. Δ(έ), comme si souvent chez Homère, est explicatif, et il équivaut à γάρ. — Payne Knight supprime le vers 409; et Dugas Montbel approuve cette suppression. « En effet, dit celui-ci, on ne voit pas pourquoi Télémaque, après avoir dit aux prétendants de se retirer, ajoute, *lorsque votre esprit le commande.* » Mais κατακείετε οἴκαδ' ἰόντες n'est point une injonction de départ. C'est une observation piquante sur l'heure indue, et voilà tout. Les prétendants ont les paupières lourdes, et ils feraient bien d'aller, comme parle Cicéron, dormir leur crapule.

410-411. Ὣς ἔφαθ'· οἱ δ' ἄρα.... Voyez les vers I, 381-382 et la note sur le second de ces deux vers.

Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν
[Νίσου φαίδιμος υἱός, Ἀρητιάδαο ἄνακτος]·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι· 415
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος 420
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
Τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
κῆρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν 425
σπείσαντες μακάρεσσι πίον μελιηδέα οἶνον.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τε πίον θ', ὅσον ἤθελε θυμός,
βάν ῥ' ἴμεναι κείοντες ἑὰ πρὸς δώμαθ' ἕκαστος.

413. Νίσου.... Répétition inutile du vers XVI, 395.

414. Ἐπὶ ῥηθέντι δικαίῳ, au sujet du bon droit exprimé : au sujet des observations sensées que vient de faire Télémaque.

415. Ἀντιβίοις ἐπέεσσι se rapporte à χαλεπαίνοι, et καθαπτόμενος a le sens actif (gourmandant).

417. Δμώων,... Voyez le vers XVII, 417 et la note sur ce vers.

418. Ἐπαρξάσθω δεπάεσσιν, présente des coupes en suivant l'ordre des convives. Didyme (*Scholies* V) : ἀπὸ τοῦ πρώτου ἀρξάσθω. Il s'agit d'une cérémonie religieuse. Voyez, *Iliade*, I, 471, la note sur ἐπαρξάμενοι. Cependant quelques anciens prenaient ἐπαρξάσθω pour un simple synonyme de ἀρξάσθω, pensant probablement que ὄφρα σπείσαντες suffisait pour marquer l'intention religieuse, et par conséquent l'ordre à suivre par l'échanson. *Scholies* H : ἀρχὴν τοῦ διανέμειν ἡμῖν ποιήσασθε.

420. Ἐνὶ μεγάροις Ὀδυσῆος. Rhianus avait une autre leçon. Didyme (*Scholies* H) : Ῥιανὸς δὲ, ἐνὶ μεγάροισιν ἔχηλον. Cette leçon a tout l'air d'une correction arbitraire.

421. Τηλεμάχῳ μελέμεν, être à soin à Télémaque : être l'objet des soins de Télémaque. Didyme (*Scholies* H) : ὑπὸ τοῦ Τηλεμάχου ἐπιμελείας ἀξιοῦσθαι.

422. Ὣς φάτο· τοῖσι.... Ce vers a été emprunté à l'*Iliade*, IX, 173. Il signifie ici que tous les prétendants approuvent les paroles d'Amphinomus.

423. Ἥρως. On se rappelle les qualifications d'honneur prodiguees à Eumée, qui n'était non plus qu'un domestique. Voyez aussi, IV, 22, la note sur κρείων Ἐτεωνεύς. Aristarque (*Scholies* B) : (ἡ διπλῆ,) ὅτι πάντας ἥρωας ἔλεγον.

425. Νώμησεν.... Voyez le vers XIII, 54 et la note sur ce vers.

427. Αὐτὰρ ἐπεὶ.... Voyez le vers III, 342 et la note sur ce vers.

ΟΔΥΣΣΕΙΑΣ Τ.

ΟΔΥΣΣΕΩΣ ΚΑΙ ΠΗΝΕΛΟΠΗΣ ΟΜΙΛΙΑ.
ΑΝΑΓΝΩΡΙΣΜΟΣ ΥΠΟ ΕΥΡΥΚΛΕΙΑΣ.

Ulysse, resté seul avec Télémaque, met en lieu sûr toutes les armes qui étaient dans le palais, et dont auraient pu se servir les prétendants (1-46). Pénélope descend pour entretenir l'étranger; et Ulysse lui fait un récit du même genre que celui qu'il avait conté à Eumée (47-307). Euryclée, sur l'ordre de sa maîtresse, lave les pieds de l'homme que Pénélope veut traiter comme un hôte, et elle reconnaît Ulysse à la cicatrice d'une blessure que lui avait jadis faite à la jambe un coup de boutoir de sanglier (308-507). Pénélope raconte à Ulysse un songe qui présage le retour de son époux, et Ulysse la confirme dans cette espérance (508-553). Pénélope n'ose pourtant pas s'y fier sans réserve, et elle persiste dans l'idée de mettre le lendemain les prétendants à une épreuve dont elle-même, à supposer qu'il y ait un vainqueur, devra être le prix (554-581). Ulysse, qui compte sur leur confusion, approuve ce dessein, et Pénélope remonte à son appartement (582-604).

Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχε, χρὴ τεύχε' Ἀρήϊα κατθέμεν εἴσω

ΑΝΑΓΝΩΡΙΣΜΟΣ.... Ancienne variante, τὰ νίπτρα, ἢ ὁ ὑπὸ Εὐρυκλείας ἀναγνωρισμός. Il est probable que les rhapsodes disaient en effet νίπτρα, sauf à y ajouter la glose qui précisait le sens d'un titre si vague.

1. Αὐτὰρ ὁ.... Voyez le vers VII, 230 et la note sur ce vers.

2. Σὺν Ἀθήνῃ. La déesse n'est pas là présente de sa personne, ou du moins elle est invisible; mais c'est bien certainement la pensée de Minerve qui inspire Ulysse. Didyme (*Scholies* H et Q) : ἤτοι παρούσῃ σιωπωμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ (VIII, 493). Voyez la note sur le vers cité par Didyme. — Quelques-uns prenaient σὺν Ἀθήνῃ pour une simple expression métaphorique. Eustathe : ἀγαθὴ γὰρ ἐν νυκτὶ βουλὴ κατὰ παροιμίαν· ὅθεν καὶ εὐφρόνη λέγεται ἡ νύξ. Mais ce qu'on verra plus loin, vers 33, prouve que la déesse, présente ou non, agit réellement.

πάντα μάλ'· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν 5
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
Ἐκ καπνοῦ κατέθηκ'· ἐπεὶ οὐκέτι τοῖσιν ἐώκει
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατῄκισται, ὅσσον πυρὸς ἵκετ' ἀϋτμή.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων, 10
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρὶ,
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν· 15
Μαῖ', ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ' ἔτι νήπιος ἦα.
Νῦν δ' ἐθέλω καταθέσθαι, ἵν' οὐ πυρὸς ἵξετ' ἀϋτμή. 20

5-13. Πάντα.... Voyez les vers XVI, 286-294 et les notes sur ce passage. On se rappelle que là ces vers étaient regardés comme une interpolation, et que l'athétèse s'étendait même du vers 281 au vers 298. Ici au contraire, Aristarque (*Scholies* H, M et V) les trouvait parfaitement à leur place, et mettait les astérisques sans obels : οἱ ἀστερίσκοι, ὅτι ἀναγκαίως ἐνθάδε, ὅτε καὶ ἑώρακε τὰ ὅπλα. Eustathe : ἔνθα καὶ κεῖται πρὸ ἑνὸς ἑκάστου στίχου ἀστερίσκος δίχα ὀβελοῦ, ὡς ἐνταῦθα τῶν τοιούτων στίχων ἄριστα κειμένων καὶ οἷον ἀστέρος δίκην λαμπόντων, οὐ μὴν ἐκεῖ (XVI, 286-294), ὡς ἐπικρίνουσιν οἱ παλαιοί. On voit qu'Eustathe, même quand il est dans le vrai à propos de l'astérisque, revient toujours à sa fausse idée que c'était un signe d'excellence.

14. Ὣς.... On a vu dans l'*Iliade*, I, 345 et deux autres fois, un vers analogue.

15. Ἐκ doit être joint à καλεσσάμενος : ayant appelé à lui. Euryclée est dans la chambre des femmes quand Télémaque lui fait cet appel ; mais le jeune homme ne lui parle que quand elle est tout proche.

16. Ἔρυξον, contiens : enferme. Télémaque veut s'assurer du secret par un infaillible moyen. Les prétendants seraient bientôt informés, si les femmes voyaient quelque chose. Didyme (*Scholies* H) : ἵνα μὴ τοῖς μνηστῆρσι διαβάλωσιν, ὥσπερ καὶ τὴν τοῦ ἱστοῦ ἀνάλυσιν. — Ἐνὶ μεγάροισι, dans le palais, c'est-à-dire dans leur appartement.

17. Ἐς θάλαμον. Cette chambre n'est pas le magasin dont il a été question ailleurs, II, 337, mais un autre magasin, qui servait d'arsenal.

19. Ἐγὼ δ' ἔτι νήπιος ἦα, et moi j'étais tout petit, c'est-à-dire depuis le temps où j'étais tout petit. L'idée exprimée dans cette phrase n'est qu'une dépendance de οἰχομένοιο. — Bothe met le vers 19 entre crochets, parce qu'on en a vu ailleurs des moitiés, et pour d'autres raisons encore : « Versiculus ex laciniis, opinor, aliorum « (I, 135 ; II, 313, etc.) consutus, quem « suspectum reddit brevi intervallo et sine « emphasi repetita vox πατρός, frigusque « totius sententiæ. » L'athétèse de Bothe n'a été admise par personne, car elle n'est qu'une répugnance personnelle.

20. Ἶν(α), adverbe. — Ἴξετ(αι). Ancienne variante, ἵκετ(ο), l'aoriste d'habitude au lieu du futur.

Τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο
οἴκου κήδεσθαι καὶ κτήματα πάντα φυλάσσειν.
Ἀλλ' ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
Δμωὰς δ' οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον. 25
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ξεῖνος ὅδ'· οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε
χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
Κλήϊσεν δὲ θύρας μεγάρων εὐναιεταόντων. 30

22. Ἐπιφροσύνας ἀνέλοιο, que tu aies adopté de sages pensées : que tu sois devenu sage et prudent. Aristarque (*Scholies* Q) : (ἡ διπλῆ, ὅτι) ἐπιφροσύνας ἀνέλοιο ἀντὶ τοῦ φρόνιμος γενήσῃ.

23. Κήδεσθαι, comme ὥστε κήδεσθαι.

24. Τοι, pour toi : pour t'éclairer. — Ἔπειτα, ensuite : quand les femmes seront enfermées chez elles. — Μετοιχομένη au féminin, parce qu'il s'agit d'une fonction de servante. — Au lieu de μετοιχομένη, quelques anciens proposent de lire μετοιχομένῳ, se rapportant à Télémaque et à l'opération du transport des armes.

25. Δ(έ) est explicatif, et il équivaut à γάρ, ou plutôt à ἐπεί. — Οὐκ εἴας, tu ne permettais pas : tu viens d'interdire. — Προβλωσκέμεν, de mettre le pied dehors : de sortir de leur appartement. Voyez, XXI, 238-239, θύραζε προβλώσκειν. — Αἵ κεν ἔφαινον, lesquelles éclaireraient. Euryclée veut dire que Télémaque n'aura personne pour l'éclairer pendant son travail. De là la réponse du jeune homme : « L'étranger que voici portera la lumière. »

27. Ξεῖνος ὅδ(ε), sous-entendu φανεῖ. *Scholies* B : ὁ ξεῖνος ὅδε φῶς μοι ποιήσει. — Οὐ γὰρ ἀεργὸν ἀνέξομαι, car je ne supporterai pas oisif : car j'ai le droit d'employer à m'être utile. On peut considérer ἀεργόν comme le sujet de εἶναι sous-entendu. Mais les anciens le regardaient comme le complément de ἀνέξομαι. Aristarque (*Scholies* B et Q) : (ἡ διπλῆ, ὅτι) Ἀττικὴ ἡ σύνταξίς ἐστιν ἀνέχομαί σε, αἰτιατικὴ ἀντὶ γενικῆς.

28. Χοίνικος, la mesure dans le sens de l'objet mesuré, et cet objet lui-même étendu à tout ce qui se mange et désignant les frais de l'hospitalité. Didyme (*Scholies* V) ; χοίνικος ἅπτηται· τροφὰς λαμβάνει. τό τε μετροῦν καὶ τὸ μετρούμενον. — Le mot χοῖνιξ ne se trouve pas une seule fois dans l'*Iliade*. Les chorizontes tiraient de la vulgarité de ce mot un argument en faveur de leur système. Aristarque leur répond (*Scholies* H et Q) que cet argument est sans valeur, et que le poëte de l'*Iliade* a employé des termes encore plus vulgaires que celui-là même : (ἡ διπλῆ, ὅτι χοίνικος) ἀντὶ τοῦ δαπάνης, τροφῆς. ἅπαξ ἐνταῦθα ἡ φωνή. καὶ οὐ διὰ τοῦτο χωριστέον τῆς Ἰλιάδος τὴν Ὀδύσσειαν· κἀκεῖ γάρ εἰσι τοῦδε εὐτελέστερα ὀνόματα· ὅλμον δ' ὣς ἔσσευε βαλών (*Iliade*, XI, 147)· ἀμφ' ἀστραγάλοισι χολωθείς (XXIII, 88)· πτύον (XIII, 588). Cette note n'est que le développement de celle qu'on lit, à propos de ὅλμον, *Iliade*, XI, 147 : ἡ διπλῆ δὲ ὅτι ἅπαξ ἐνταῦθα κέχρηται, καὶ ὅτι ἐν Ἰλιάδι εὐτελέσι κέχρηται λεξιδίοις, οὐ μόνον ἐν Ὀδυσσείᾳ χοίνικος καὶ λύχνου (voyez plus bas λύχνον, vers 34), πρὸς τοὺς χωρίζοντας. — Καί, encore que. Plus un hôte venait de loin, plus on avait d'égards pour lui. De là l'expression καὶ τηλόθεν εἰληλουθώς. Bothe : « Quamvis hospes non sit fami- « liaris, aut Ithacensis, sed e longinquo « advenerit, tamen se illum negat gratis « nutriturum. »

29. Ὥς.... Voyez le vers XVII, 57 et la note sur ce vers.

30. Μεγάρων, de l'appartement (des femmes). Voyez plus haut le vers 16 et les notes sur ce vers.

Τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
ἐσφόρεον κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.
Δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα· 35

31. Τώ (eux deux), sujet expliqué par l'apposition Ὀδυσεὺς καὶ φαίδιμος υἱός. — Ἀναΐξαντ(ε), ayant pris l'essor : s'étant mis vivement à l'œuvre.

32. Ἐσφόρεον, c'est-à-dire εἰς θάλαμον ἐφόρουν.

33. Πάροιθε, par devant, c'est-à-dire sur leur chemin.

34. Χρύσεον, dissyllabe par synizèse.— Λύχνον ἔχουσα. Ceux qui prenaient l'expression au propre concluaient de ceci qu'il faut considérer la déesse comme présente dès le début du chant. *Scholies* Q : δῆλον οὖν ὅτι καὶ ἐν ἀρχῇ παρῆν. Mais elle n'est pas moins invisible ici que là, puisque Télémaque prend pour un miracle l'illumination de la galerie qui mène à l'arsenal. — On entend d'ordinaire, par χρύσεον λύχνον ἔχουσα, tenant une lampe d'or. Cette interprétation est inadmissible. La lampe proprement dite n'était point en usage au temps d'Homère, ni même plus tard encore. Le mot λύχνος signifie un luminaire quelconque, un flambeau. C'est un terme tout à fait général, et qui n'a pris qu'avec le temps son sens spécial de lampe. Didyme (*Scholies* H, Q et V) : λύχνον, ἀπὸ τοῦ λύειν τὸ νύχος. λέγει δὲ τὴν δᾷδα κυρίως. τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει, οὐδὲ Ἡσίοδος μέμνηται. Il ne faut pas faire attention à l'étymologie donnée par Didyme; car λύχνος est analogue au latin *lucmen* (*lumen*), *lucna* (*luna*), racine λυκ, qui contient l'idée d'éclat lumineux. J'ajoute que ce mot, comme χοῖνιξ, ne se trouve point dans l'*Iliade*, et ne se lit que cette fois seule dans l'*Odyssée*. — Puisque la déesse est invisible, comment peut-on savoir si elle a un flambeau à la main, et quelle est la matière de ce flambeau? Mais les poëtes n'ont pas besoin de rendre compte de la façon dont ils ont connu les choses. C'est Homère qui sait que la déesse tenait un flambeau d'or. — Autre difficulté. Qu'importe la matière du flambeau? Le point essentiel est la lumière; et c'est à la qualité de cette lumière fournie par Pallas que semble s'appliquer l'épithète χρύσεον. Le poëte répondrait que tout est d'or dans les palais des dieux, ou de matières plus précieuses que l'or même, et que, si Pallas tient en main un flambeau, ce n'est pourtant pas une branche de pin, ou un bâton garni d'étoupes imprégnées de térébenthine. — La dernière difficulté qu'on soulevait se rapporte au rôle de porte-falot auquel se trouve réduite ici Pallas. Aristarque (*Scholies* B et Q) fait disparaître l'inconvenance, en supposant qu'ici, comme dans beaucoup d'autres passages, Homère sous-entend ὡς, et fait seulement une comparaison : (ἡ διπλῆ, ὅτι) λείπει τὸ ὡς· ὡς χρύσεον λύχνον ἔχουσα, ὅ ἐστιν ἀμαυρὸν φῶς ἐποίει ὡς ἀπὸ ἐκλάμψεως χρυσοῦ. δουλοπρεπὲς καὶ λίαν εὐτελὲς τὸ τῆς διανοίας (διακονίας?)· πολλῷ γὰρ ἦν ἄμεινον ἐπιδημησάσης τῆς δαίμονος αὐτόματον ἐπιλάμψαι πολυτελὲς φῶς. οὕτως οὖν ὁ λόγος ἐχέτω· ἡ δ' Ἀθηνᾶ φάος ἐποίει, ὡς χρύσεον λύχνον ἔχουσα. καὶ γὰρ οὐκ ἐχρῆν δαψιλὲς ἐπιλάμψαι τὸ φῶς πρὸς τὸ μὴ γνωσθῆναι κατὰ τὴν αὐλὴν τὴν μετακομιδὴν τῶν ὅπλων. εἴωθε δὲ ὁ ποιητὴς μὴ ἀποδοκιμάζειν τῶν ὀνομάτων τὰ εὐτελῆ, ὡς τὸ μυῖαν, κυάμους τε καὶ ἐρεβίνθους. La dernière phrase se rapporte au caractère vulgaire du terme λύχνος, et est à l'adresse des chorizontes. Voyez plus haut la première note du vers 28. — Rien n'empêche d'admettre l'explication d'Aristarque. Mais on est parfaitement libre aussi de prendre à la lettre les expressions du poëte, et de voir Pallas un flambeau d'or à la main. Je crois de plus que si l'on rapporte χρύσεον à la nature de la lumière, il n'y a aucune raison d'atténuer la valeur de l'épithète; bien au contraire, comme le montre φάος περικαλλές. — Φάος. Ancienne variante, φόως. — Ἐποίει. Bekker et Ameis, ἐποίεεν.

35. Δὴ τότε.... Appropriation du vers XVI, 221.

Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
Ἔμπης μοι τοῖχοι μεγάρων καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοὶ, καὶ κίονες ὑψόσ' ἔχοντες,
φαίνοντ' ὀφθαλμοῖς ὡσεὶ πυρὸς αἰθομένοιο.
Ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν. 40
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.

36. Ὦ πάτερ,... On a vu plusieurs fois dans l'*Iliade* (XIII, 99; XV, 286; XX, 344; XXI, 54) un vers tout semblable à celui-là.

37. Ἔμπης μοι doit être joint à φαίνοντ(αι). — Μεσόδμαι, les entre-colonnements : les creux qui se succédaient d'un pilastre à un autre. C'est l'explication d'Aristarque. *Scholies* B, H et Q : ὁ Ἀρίσταρχος τὰ μεσόστυλα. — D'autres entendaient, par μεσόδμαι, les intervalles entre les poutres du plafond. Mêmes *Scholies* : ἔνιοι δὲ τὰ μεταξὺ τῶν δοκῶν διαστήματα. Ces deux explications ne sont point contradictoires, puisque les poutres du plafond portent sur les pilastres, et qu'il y avait aussi, entre les poutres, un phénomène lumineux. Didyme (*Scholies* V) : τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. D'après ceci il s'agit incontestablement d'une galerie, de colonnes dans leur emploi primitif, c'est-à-dire appuyées aux parois des murs, et portant les poutres du plafond ou du toit de la galerie. Les colonnes ou pilastres n'étaient probablement que des poutres verticales, et ne différaient des δοκοί que par leur position. Le sens propre du mot μεσόδμη est très-vague : construction intermédiaire (μέσος et δέμω). Il désigne ordinairement la partie du navire où s'implante le mât. Voyez le vers II, 424 et la note sur ce vers. Ici c'est ou une portion de paroi ou une portion de plafond. L'épithète καλαί s'applique mieux, ce semble, à la paroi polie qu'à un dessous de plancher, même peint. Le marbre brille à la lumière. C'est donc Aristarque qui doit avoir raison.

38. Κίονες au masculin, comme dans le grec des siècles postérieurs à Homère. Le poëte fait ordinairement κίων du féminin. De là cette observation d'Aristarque (*Scholies* H) : (ἡ διπλῆ,) ὅτι καὶ ἀρσενικῶς ὁ κίων. — Ὑψόσ' ἔχοντες, intransitif : qui se dressent en haut.

39. Πυρός, génitif causal : par l'effet d'un feu. Bothe rapproche le passage de l'*Amphitryon* de Plaute, V, I, 44, où une servante parle d'un miracle du même genre que celui-ci : « Ædes totæ confulgebant tuæ, quasi essent aureæ. »

40. Θεὸς.... οἳ (c'est-à-dire ἐκείνων οἳ) équivaut à θεῶν οἳ. Voyez le vers VI, 150.

42. Κατά doit être joint à ἴσχανε. L'explication vulgaire (*in tua mente retine*) interrompt la suite des idées. Télémaque n'a rien à garder dans son esprit, puisque Ulysse, après avoir dit σίγα, et avant de dire μηδ' ἐρέεινε, dit à son fils de réprimer sa pensée, de mettre un frein à sa curiosité. Avec l'explication vulgaire, ce que Télémaque doit conserver dans sa pensée, c'est le principe que va exprimer Ulysse sur la façon d'agir des dieux.

43. Αὕτη τοι δίκη ἐστὶ θεῶν, tel est sans doute l'usage des dieux. Ajoutez : d'illuminer les lieux où ils se trouvent. *Scholies* Q : οὗτος ὁ τρόπος τῶν θεῶν, τὸ καταφωτίζειν τοὺς τόπους ἐν οἷς τυγχάνουσιν. Il va sans dire que les dieux ne le font que quand ils le jugent à propos, et que bien souvent ils dissimulent complétement leur présence. Didyme (*Scholies* V) : οὗτος ὁ τρόπος, τὸ ὡς βούλονται φαίνεσθαι. — Eustathe mentionne une ancienne variante : τινὲς δὲ γράφουσιν, αὐτή τοι δίκη ἐστὶ θεοῦ. Mais cette leçon est inintelligible, à moins qu'on ne rétablisse αὕτη au lieu de αὐτή. Alors le sens reste le même qu'avec la vulgate, θεοῦ étant dit en général, et équivalant à θεῶν.

Ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω· 45
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο καὶ Ἠῶ δῖαν ἔμιμνεν. 50
Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
Τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἐφῖζεν, 55

44. Κατάλεξαι, couche-toi : va te mettre au lit.

45. Ἐρεθίζω a un sens très-adouci. Ulysse veut faire parler les femmes, et encourager leur maîtresse. Il a besoin de les *émoustiller*. Cette expression familière rend parfaitement le verbe ἐρεθίζειν pris en bonne part.

46. Δέ est explicatif, et il équivaut à γάρ ou à ἐπεί. Didyme (*Scholies* H) : αὐτὴ γὰρ ὀδυρομένη. ὁ γὰρ δὲ ἀντὶ τοῦ γάρ. — Ἀμφίς est un adverbe, et ἕκαστα dépend de εἰρήσεται. La traduction *interrogabit de singulis* ne donne que la moitié de la pensée. L'adverbe indique que les questions auront place chacune à part, chacune à son tour. Aristarque (*Scholies* B et Q) : (ἡ διπλῆ, ὅτι) ἀμφὶς ἀντὶ τοῦ χωρίς, ὅ ἐστι κατὰ τάξιν. Bothe applique ἀμφίς aux personnes, et non aux choses : isolément, c'est-à-dire seul à seul avec moi. Mais le mot ἕκαστα, qui suit immédiatement ἀμφίς, dit qu'il s'agit plutôt des choses.

47. Διὲκ μεγάροιο βεβήκει. La chambre à coucher de Télémaque était hors du palais dans la cour. Voyez les vers I, 425-426.

48. Δαΐδων ὕπο λαμπομενάων, sous des torches répandant lumière : à la lumière des torches. Mais ici comme au vers I, 428, le pluriel est pour le singulier. Euryclée tient une torche de la main gauche ; sa main droite est libre, car c'est Euryclée elle-même qui ouvrait au jeune homme la porte de sa chambre à coucher. Voyez le vers I, 436.

49. Ἔνθα πάρος.... Vers emprunté à l'*Iliade*, I, 610. — Πάρος, auparavant, c'est-à-dire de tout temps.

50. Ἔνθ(α), là : dans cette chambre. — Καὶ τότ(ε), cette fois aussi : comme à l'ordinaire.

51-52. Αὐτὰρ ὁ.... Voyez plus haut les vers 1-2 et les notes sur ces deux vers.

53-54. Ἡ δ' ἴεν.... Voyez les vers XVII, 36-37 et la note sur le premier de ces deux vers.

55. Τῇ, pour elle. — Παρά, adverbe : proche ; tout proche. — Πυρί dépend de κάτθεσαν. Mais quelques-uns le rapportent à παρά, dont ils font une préposition. — Κάτθεσαν a pour sujet δμωαί sous-entendu, c'est-à-dire les deux servantes de Pénélope, Autonoé et Hippodamie. Voyez les vers XVIII, 182-184 et 303. Ces femmes n'ont point quitté leur maîtresse. — Bothe prétend que le vers 60, où il est question de servantes, devrait être placé avant le vers 55. Mais cette correction est inutile. Les femmes qui mettent le fauteuil de Pénélope près du feu sont celles qui l'avaient accompagnée auprès des prétendants, et qui ont transporté chez elle leurs cadeaux. Celles du vers 60 sont des servantes vulgaires, de celles qu'Euryclée avait enfermées dans leur appartement, et à qui on ouvre la porte quand on a besoin d'elles, et que leur présence n'offre aucun inconvénient.

δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἥν ποτε τέκτων
ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκεν
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
Ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
Ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο. 60
Αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ᾕρεον ἠδὲ τραπέζας
καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον·
πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον, ἄλλα δ' ἐπ' αὐτῶν
νήησαν ξύλα πολλά, φόως ἔμεν ἠδὲ θέρεσθαι.

56. Δινωτήν. Les pieds du fauteuil ont été faits au tour avant d'être décorés d'ivoire et d'argent. De là l'expression elliptique du poëte (tourné en ivoire et en argent). Eustathe : δινωτὴ ἴσως μὲν καὶ ἡ τορευτικὴ κατά τινα μέρη, μάλιστα δὲ ἡ κύκλῳ κεκοσμημένη ἐλεφαντίνοις ὀστοῖς καὶ ἀργύρῳ, καθά που καὶ κολεὸν ἐλέφαντος ἀμφιδεδινηθῆναι εἶπεν ὁ ποιητής (VIII, 404-405).

57. Ἰκμάλιος. Cet artiste n'est nommé nulle part qu'ici. — Ὑπό doit être pris comme adverbe, ou, ce qui revient au même, doit être joint à ἧκεν. — Ποσίν, pour les pieds : pour y poser les pieds. On se rappelle que la formule ordinaire, quand il s'agit d'un fauteuil avec escabeau, est ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν. Le poëte a changé de formule parce que le travail de l'artiste devait être décrit.

58. Προσφυέ' ἐξ αὐτῆς. Le fauteuil et l'escabeau adhéraient ensemble, et ne formaient qu'un seul objet. C'est sur des siéges de ce genre que les peintres de la Renaissance asseyent leurs madones et leurs saintes. — Ὅθ(ι), là où : sur lequel meuble; et sur ce fauteuil et cet escabeau. — Ἐπί doit être joint à βάλλετο, et ἐπεβάλλετο a pour sujet κῶας. Eustathe vante cette simplicité, par opposition à la mollesse de quelques autres héroïnes, et particulièrement d'Hélène (IV, 124). Mais la richesse du fauteuil, et l'épithète μέγα, appliqué à κῶας, semble dire que le poëte a voulu nous montrer Pénélope très-confortablement assise.

59. Ἔνθα, là : dans ce fauteuil à escabeau.

60. Ἦλθον.... Répétition du vers XVIII, 198. — Ἐκ μεγάροιο. Euryclée leur a ouvert la porte après avoir mené Télémaque au lit. Voyez plus haut les notes du vers 55.

61. Ἀπό doit être joint à ᾕρεον : ἀφῄρουν, enlevaient. Elles s'occupent à faire le débarras de la salle du festin. — Σῖτον πολύν. Les prétendants abusaient des provisions; et il leur fallait trop, beaucoup trop, pour avoir assez. Aristarque (*Scholies* Q) : (ἡ διπλῆ, ὅτι) ἐμφαίνει τὴν ἀσωτίαν αὐτῶν τὸ πολύ (lisez τὸ πολύν)· οὕτως καὶ ἐν ἀρχῇ (I, 147)· σῖτον δὲ δμωαὶ παρενήνεον.

62. Δέπα est pour δέπαα, et il n'a la finale brève que par le fait de l'hiatus. Hérodien (*Scholies* H) ἐκτατέον τὸ δέπα. — Ἔνθεν, d'où : desquelles, c'est-à-dire avec lesquelles. — Ἔπινον a le sens du plus-que-parfait : avaient bu. On peut aussi entendre comme si c'était l'aoriste d'habitude. Les prétendants buvaient chaque jour dans ces coupes.

63. Χαμάδις, à terre : sur le pavé de la salle. — Ἐπ' αὐτῶν, pour eux : à l'intention des prétendants. *Scholies* M : αὐτῶν· τῶν μνηστήρων. Il s'agit des provisions pour l'éclairage et le chauffage du lendemain. Voyez la deuxième note du vers suivant. Quoi qu'en dise Eustathe, les servantes ne songent point au feu près duquel vont converser Pénélope et Ulysse.

64. Φόως ἔμεν ἠδὲ θέρεσθαι, sous-entendu ὥστε : pour que lumière fût et que chaleur se produisît, c'est-à-dire afin d'avoir de quoi fournir aux pots à feu et au foyer le soir prochain. Didyme (*Scholies* H) : λείπει ἡ εἰς· εἰς τὸ φῶς εἶναι καὶ θερμαίνεσθαι. J'ai été obligé de corriger le commencement de la phrase. On y lisait : λείπει τὸ εἰς φῶς εἶναι. Cela n'a pas de sens.

Ἡ δ' Ὀδυσῆ' ἐνένιπε Μελανθὼ δεύτερον αὖτις· 65
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα
δινεύων κατὰ οἶκον, ὀπιπεύσεις δὲ γυναῖκας;
Ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς· 70
Δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;
Ἦ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἷμαι,
πτωχεύω δ' ἀνὰ δῆμον; Ἀναγκαίη γὰρ ἐπείγει.
Τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.
Καὶ γὰρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον 75
ὄλβιος ἀφνειόν, καὶ πολλάκι δόσκον ἀλήτῃ,
τοίῳ ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·

65. **Μελανθώ**, apposition explicative à ἥ. — **Δεύτερον αὖτις**. Voyez les premières insultes de Mélantho, XVIII, 321-336.

66. **Ἀνιήσεις**, sous-entendu ἡμέας.

67. **Δινεύων**, circulant. *Scholies* B : δινούμενος, ἀναστρεφόμενος. — **Ὀπιπεύσεις**, *vulgo* ὀπιπτεύσεις. Les anciens admettaient les deux orthographes; mais ils préféraient ici la forme primitive. En effet, la racine est ὀπ, et le τ n'est pas nécessaire.

68. **Τάλαν** est dit en mauvaise part : misérable! — **Δαιτὸς ὄνησο**. C'est à ceci que s'applique la fin de la scholie sur δινεύων : ἵνα πέψῃς, ἐπεὶ μεθύεις. Mélantho dit à Ulysse : « Va dormir sur ta bonne repue; va cuver ton vin. »

Λητὼ δ' ἐννῆμάρ τε καὶ ἐννέα νύκτας ἀέλπτοις
ὠδίνεσσι πέπαρτο. Θεαὶ δ' ἔσαν ἔνδοθι πᾶσαι,
ὅσσαι ἄρισται ἔασι, Διώνη τε Ῥείη τε,
Ἰχναίη τε Θέμις καὶ ἀγάστονος Ἀμφιτρίτη,
ἄλλαι τ' ἀθάναται, νόσφιν λευκωλένου Ἥρης. 95
[Ἧστο γὰρ ἐν μεγάροισι Διὸς νεφεληγερέταο.]
Μούνη δ' οὐκ ἐπέπυστο μογοστόκος Εἰλείθυια·
ἧστο γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν,
Ἥρης φραδμοσύνῃ λευκωλένου, ἥ μιν ἔρυκεν
ζηλοσύνῃ, ὅτ' ἄρ' υἱὸν ἀμύμονά τε κρατερόν τε 100
Λητὼ τέξεσθαι καλλιπλόκαμος τότ' ἔμελλεν.

84-86. Ἴστω νῦν.... Cette formule de serment est empruntée à Homère, chez qui on la trouve deux fois, sauf τόδε au lieu de τάδε. Voyez l'*Iliade*, XV, 36-38 et l'*Odyssée*, V, 184-186.

87. Τῇδε, en ce lieu-ci : à Délos.

88. Τίσει a pour sujet Φοῖϐος sous-entendu. — Ἔξοχα πάντων, plus que quoi que ce soit au monde.

89. Αὐτὰρ.... Vers emprunté à l'*Odyssée*, où il est plusieurs fois répété. Voyez II, 378; X, 346; XII, 304; XVIII, 59.

90. Γόνῳ, selon Beaumeister, est impropre et doit être changé en γονῇ, qu'il a reçu dans son texte. Mais Homère emploie indifféremment γονή et γόνος l'un pour l'autre. Tout dépend de la versification. Ici le mot est à volonté.

92. Ἔνδοθι, c'est-à-dire ἐν τῇ νήσῳ, παρὰ Λητοῖ.

93. Ἔασι, *vulgo* ἔσαν, qui fausse la mesure, et qui n'est évidemment qu'un lapsus de copiste, amené par l'imparfait du vers qui précède.

94. Ἰχναίη. Thémis avait un sanctuaire à Ichnes, ville de Thessalie. — Baumeister dit qu'il ne comprend pas du tout pourquoi le poëte fait figurer ici Dioné, Rhéa, Thémis, Amphitrite, et leur donne une épithète d'honneur (ἄρισται). Mais le problème est facile à résoudre. Latone est une fille de Titan : il est donc tout naturel qu'elle soit particulièrement assistée par des Titanides, et que ces Titanides, à cause d'elle, soient bien traitées par le poëte. — Ἀγάστονος Ἀμφιτρίτη, chez Homère (*Odyssée*, XII, 97), désigne la mer elle-même. Ici c'est la personnification de la mer; mais l'épithète physique est restée.

96. Ἧστο γὰρ.... On s'accorde généralement à regarder ce vers comme une interpolation. Il est tout à fait inutile.

97. Μογοστόκος Εἰλείθυια. Voyez, dans l'*Iliade*, la note du vers XI, 270.

98. Ὑπὸ χρυσέοισι νέφεσσιν. Les sommets de l'Olympe sont enveloppés de nuages, et c'est sur ces sommets qu'habitent les dieux d'Homère. Voyez plus bas le vers 109.

100. Ὅτ(ε), vu que. Le poëte explique pourquoi Junon est jalouse.

101. Τότ(ε), à ce moment. Ajoutez : si l'accouchement avait lieu. Mais Junon l'empêche par tous les moyens.

Αἱ δ' Ἶριν προὔπεμψαν ἐϋκτιμένης ἀπὸ νήσου,
ἀξέμεν Εἰλείθυιαν, ὑποσχόμεναι μέγαν ὅρμον,
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἐννεάπηχυν·
νόσφιν δ' ἤνωγον καλέειν λευκωλένου Ἥρης, 105
μή μιν ἔπειτ' ἐπέεσσιν ἀποστρέψειεν ἰοῦσαν.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε ποδήνεμος ὠκέα Ἶρις,
βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ.
Αὐτὰρ ἐπεί ῥ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,
αὐτίκ' ἄρ' Εἰλείθυιαν ὑπὲκ μεγάροιο θύραζε 110
ἐκπροκαλεσσαμένη ἔπεα πτερόεντα προσηύδα,
πάντα μάλ', ὡς ἐπέτελλον Ὀλύμπια δώματ' ἔχουσαι.
Τῇ δ' ἄρα θυμὸν ἔπειθεν ἐνὶ στήθεσσι φίλοισιν·
βὰν δὲ ποσὶ, τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.
Εὖτ' ἐπὶ Δήλου ἔβαινε μογοστόκος Εἰλείθυια, 115
δὴ τότε τὴν τόκος εἷλε, μενοίνησεν δὲ τεκέσθαι.
Ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ' ἔρεισεν
λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ' ὑπένερθεν·
ἐκ δ' ἔθορε πρὸ φόωσδε· θεαὶ δ' ὀλόλυξαν ἅπασαι.

102. Αἱ, elles, c'est-à-dire les déesses qui assistaient Latone.—Ἐϋκτιμένης ἀπὸ νήσου. L'île est bien située, c'est là tout ce que veut dire l'épithète. Voyez l'*Odyssée*, IX, 130. Là aussi Homère parle d'une île non cultivée.

103. Ἀξέμεν, comme ὥστε ἄξειν.

104. Χρύσεον, ἠλέκτροισιν ἐερμένον, *vulgo* χρυσείοισι λίνοισιν ἐεργμένον. La correction était tout indiquée par Homère, *Odyssée*, XV, 460. Baumeister est le premier qui l'ait faite entière, bien que personne ne pût dire ce que signifiait la vulgate. On avait seulement rétabli ἐερμένον. — Voyez les notes sur le passage d'Homère imité par le poëte.

106. Μιν, elle : l'Ilithyie. — Ἀποστρέψειεν a pour sujet ἥδε ou Ἥρη sousentendu.

110. Ὑπέκ, *vulgo* ἀπ' ἐκ, Baumeister ἀπέκ en un seul mot. Bothe justifie très-bien ὑπέκ, terme essentiellement homérique : « τὸ ὑπό clam Junone id factum « esse indicat, ut facere jussa erat Iris. « ἀπέκ nihili vox est et ταυτολόγος. Sæpe « confusa ἀπό et ὑπό. »

112. Ὀλύμπια δώματ' ἔχουσαι, comme αἱ au vers 102. Ce sont les quatre déesses assistantes.

113. Τῇ, à elle : à l'Ilithyie.

114. Βὰν δὲ ποσὶ,... Appropriation du vers V, 778 de l'*Iliade*. Voyez les notes sur ce vers.

116. Δὴ τότε τήν, *vulgo* τὴν τότε δή. Il n'y a point opposition de personnes; il ne s'agit que de préciser l'instant. C'est là ce qui justifie cette correction, qui est d'Ilgen.

117-118. Ἀμφὶ δὲ φοίνικι.... Théognis, vers 5-10, raconte de même, mais avec plus de détails, la naissance d'Apollon. Baumeister croit qu'il s'est inspiré de ce passage. Mais on pourrait soutenir l'inverse. Il vaut mieux dire que les deux poëtes ont pris leur matière dans les lieux communs religieux des sèdes.

117. Φοίνικι. Ce palmier de Délos est déjà mentionné par Homère. Voyez l'*Odyssée*, V, 162-163. Cicéron, au début des *Lois*, dit qu'il subsistait encore de son temps : *hodie monstrant eamdem*.

119. Ἐκ δ' ἔθορε πρὸ φόωσδε rappelle le vers XIX, 118 de l'*Iliade*; mais πρό n'a pas ici comme dans ce vers une signification précise. Ce n'est qu'un pléonasme,

Ἔνθα σε, ἤϊε Φοῖβε, θεαὶ λόον ὕδατι καλῷ, 120
ἁγνῶς καὶ καθαρῶς· σπάρξαν δ' ἐν φάρεϊ λευκῷ,
λεπτῷ, νηγατέῳ· περὶ δὲ χρύσεον στρόφον ἧκαν.
Οὐδ' ἄρ' Ἀπόλλωνα χρυσάορα θήσατο μήτηρ,
ἀλλὰ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
ἀθανάτοις χείλεσσιν ἐπήρξατο· χαῖρε δὲ Λητώ, 125
οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.
Αὐτὰρ ἐπειδή, Φοῖβε, κατέβρως ἄμβροτον εἶδαρ,
οὐ σέγ' ἔπειτ' ἴσχον χρύσεοι στρόφοι ἀσπαίροντα,
οὐδ' ἔτι δεσμά σ' ἔρυκε, λύοντο δὲ πείρατα πάντα.
Αὐτίκα δ' ἀθανάτῃσι μετηύδα Φοῖβος Ἀπόλλων· 130
Εἴη μοι κίθαρίς τε φίλη καὶ καμπύλα τόξα,
χρήσω δ' ἀνθρώποισι Διὸς νημερτέα βουλήν.
Ὣς εἰπὼν ἐβίβασκεν ἐπὶ χθονὸς εὐρυοδείης
Φοῖβος ἀκερσεκόμης, ἑκατηβόλος· αἱ δ' ἄρα πᾶσαι
θάμβεον ἀθάναται· χρυσῷ δ' ἄρα Δῆλος ἅπασα 135
[βεβρίθει, καθορῶσα Διὸς Λητοῦς τε γενέθλην,
γηθοσύνῃ, ὅτι μιν θεὸς εἵλετο οἰκία θέσθαι
νήσων ἠπείρου τε, φίλησε δὲ κηρόθι μᾶλλον.]

après ἐκ δ' ἔθορε, un signe de l'empressement avec lequel le dieu court vers la lumière. — Θεαὶ.... ἅπασαι. Il ne s'agit que des déesses qui sont à Délos. — Ὀλόλυξαν désigne ici un cri de joie. Le verbe ὀλολύζω se trouve aussi en bonne part chez Homère. Les poëtes postérieurs le prennent de même dans les deux sens. Tout dépend du contexte.

120. Ἤϊε Φοῖβε. Voyez le vers XV, 365 de l'*Iliade* et la note sur ce vers.

121. Σπάρξαν, elles emmaillotièrent.

122. Περί doit être joint à ἧκαν.

123. Χρυσάορα doit être pris dans son sens propre, et l'on doit supposer Apollon armé d'un glaive. C'est arbitrairement que plusieurs anciens ont prétendu que ἄορ, dans cette épithète, signifiait l'arme ordinaire d'Apollon, c'est-à-dire l'arc et les flèches, ou même sa lyre. — Θήσατο, allaita. On a vu le même mot chez Homère avec le sens passif : fut allaité; teta. Voyez l'*Iliade*, XXIV, 58.

125. Ἀθανάτοις χείλεσσιν, *vulgo* ἀθανάτῃσιν χερσίν. Baumeister justifie la correction par un passage de Pindare, *Pythiques*, IX, 59-63, tout à fait analogue à celui-ci, et qu'il en regarde comme une imitation.

128. Χρύσεοι στρόφοι, pluriel emphatique. Voyez plus haut, vers 122. De même pour δεσμά, qui correspond au singulier φᾶρος (ἐν φάρεϊ λευκῷ, vers 121).

129. Πείρατα πάντα, toutes les limites, c'est-à-dire tout ce qui bornait son essor. Il n'est pas impossible que le poëte ait pris πείρατα dans le sens de *liens*, qu'il paraît avoir une fois dans l'*Odyssée*, XII, 51 et 162. Mais il est plus probable que ce mot a ici son acception propre : c'est le terme général qui résume στρόφοι et δεσμά.

132. Χρήσω, j'annoncerai comme oracle : je prédirai.

133. Ἐπὶ χθονός. La leçon des manuscrits et des anciennes éditions, ἀπὸ χθονός, ne donnait aucun sens raisonnable. Elle a été corrigée par Matthiæ.

136-138. Βεβρίθει,... Ces trois vers manquent dans la plupart des manuscrits. Ils

ἤνθησ', ὡς ὅτε τε ῥίον οὔρεος ἄνθεσιν ὕλης.
Αὐτὸς δ', ἀργυρότοξε ἄναξ, ἑκατηβόλ' Ἄπολλον, 140
ἄλλοτε μέν τ' ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,
ἄλλοτε δ' αὖ νήσους τε καὶ ἀνέρας ἠλάσκαζες.
Πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα·
πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι
ὑψηλῶν ὀρέων, ποταμοί θ' ἅλαδε προρέοντες. 145
Ἀλλὰ σὺ Δήλῳ, Φοῖβε, μάλιστ' ἐπιτέρπεαι ἦτορ·
ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται,
σὺν σφοῖσιν τεκέεσσι καὶ αἰδοίῃς ἀλόχοισιν·
οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ
μνησάμενοι τέρπουσιν, ὅτ' ἂν στήσωνται ἀγῶνα. 150
Φαίη κ' ἀθανάτους καὶ ἀγήρως ἔμμεναι αἰεὶ,
ὃς τότ' ἐπαντιάσει', ὅτ' Ἰάονες ἀθρόοι εἶεν·
πάντων γάρ κεν ἴδοιτο χάριν, τέρψαιτο δὲ θυμὸν
ἄνδρας τ' εἰσορόων καλλιζώνους τε γυναῖκας,
νῆάς τ' ὠκείας ἠδ' αὐτῶν κτήματα πολλά. 155
Πρὸς δὲ, τόδε μέγα θαῦμα, ὅου κλέος οὔποτ' ὀλεῖται,

interrompent la suite des idées, et ils ne disent rien d'intéressant ni d'utile. Baumeister les a retranchés du texte, et je crois qu'il a parfaitement raison. On peut les rendre à peu près tolérables en faisant comme Bothe, c'est-à-dire en transportant le vers 139 entre les vers 135 et 136; mais ils ne sont, même ainsi arrangés, rien de plus que tolérables.

139. Ἤνθησ(ε). L'île brille comme si elle était couverte d'une parure d'or. Pindare, *Olympiques*, II, 72, dit, en parlant des îles des Bienheureux : ἄνθεμα χρυσοῦ φλέγει.

141. Κύνθου. Le Cynthe est nommé le premier, parce qu'il est dans l'île même de Délos.

142. Νήσους τε καὶ ἀνέρας signifie, selon les uns, les îles et leurs habitants; selon les autres, il y a une opposition, et ἀνέρας doit désigner les peuples du continent. Le texte du vers est probablement altéré. Baumeister propose de changer νήσους en νηούς : il voit même dans le νηοί du vers suivant une preuve à l'appui de cette correction.

144-145. Πᾶσαι δὲ σκοπιαί τε.... Répétition inutile des vers 22-23. Quelques-uns regardent, au contraire, 144-145 comme bien à leur place, et 22-23 comme une interpolation. La seule différence qu'il y ait entre les deux passages, c'est ici le remplacement de ἅδον par φίλαι (εἰσί).

146-150. Ἀλλὰ σὺ Δήλῳ, Φοῖβε,... Ces cinq vers sont cités par Thucydide, III, CIV, mais avec des variantes très-considérables. Vers 146 : ἀλλ' ὅτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης. Vers 148 : σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν. Vers 149 : ἔνθα σε πυγμαχίῃ τε καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ. Vers 150 : καθέσωσιν, au lieu de στήσωνται. On suppose, avec quelque vraisemblance, que l'historien citait de mémoire; car son texte est inférieur à celui des manuscrits de l'hymne. Celui-ci est surtout plus homérique.

156. Πρὸς δέ, et en outre. — Τόδε, ceci : ce que je vais dire. — Μέγα θαῦμα, sous-entendu ἐστί. On a vu, *Iliade*, XIII, 99 : ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι. — Ὅου κλέος οὔποτ' ὀλεῖται est un emprunt textuel à l'*Iliade*, II, 325.

κοῦραι Δηλιάδες, Ἑκατηβελέταο θεράπναι·
αἵτ' ἐπεὶ ἂρ πρῶτον μὲν Ἀπόλλων' ὑμνήσωσιν,
αὖτις δ' αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν
μνησάμεναι, ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν 160
ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.
Πάντων δ' ἀνθρώπων φωνὰς καὶ κρεμβαλιαστὺν
μιμεῖσθ' ἴσασιν· φαίη δέ κεν αὐτὸς ἕκαστος
φθέγγεσθ'· οὕτω σφιν καλὴ συνάρηρεν ἀοιδή.
Ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξὺν, 165
χαίρετε δ' ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθεν
μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών·
Ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα; 170
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως·
Τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ·

157. Θεράπναι, comme θεράπαιναι. Cette syncope ne se trouve nulle part dans Homère.

158. Ἐπεί, chez Homère, se construit souvent avec le subjonctif. Voyez l'*Iliade*, XV, 363; l'*Odyssée*, XI, 118; XX, 86, etc. Il est donc inutile de changer ἄρ en ἄν : on suppose ἄν ou κε sous-entendu.

160-161. Ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν ὕμνον ἀείδουσιν. Baumeister : « Prisci viri et mulieres intelligendi non « sunt ceteri heroes (quorum laudes cane- « bantur a rhapsodis, non a virginibus), « sed Hyperborei cum Apollinis cultu arc- « tissime conjuncti. » Il renvoie à Hérodote, IV, XXXIII et suivants.

162-164. Πάντων δ' ἀνθρώπων.... Nous avons ici une description de l'hyporchème. Le chœur des jeunes filles de Délos représente les courses de Latone. Il imite le langage des différents peuples visités par la déesse; il reproduit leurs chants et leurs danses, et cette imitation est la perfection même. C'est ce qu'exprime l'hyperbole du poëte, *chacun croirait s'entendre parler*, c'est-à-dire chacun retrouve dans leur bouche le langage même de son pays.

165-172. Ἀλλ' ἄγεθ', ἱλήκοι.... Ces huit vers sont cités aussi par Thucydide, dans le même chapitre que les vers 146-150. Mais il n'y a cette fois aucune différence entre son texte et le nôtre, sauf ταλαπείριος ἄλλος ἐπελθών, vers 168, au lieu de ξεῖνος ταλαπείριος ἐλθών. Il est vrai qu'on a changé, au vers 165, d'après Thucydide même, la fausse leçon des manuscrits ἀλλ' ἄγε δὴ Λητὼ μέν, corruption de ἀλλ' ἄγεθ', ἱλήκοι μέν. On comprend du reste très-bien que des vers du genre de ceux-ci soient fidèlement restés dans la mémoire de l'historien.

168. Ξεῖνος ταλαπείριος ἐλθών. Cette leçon vaut mieux que celle de Thucydide, parce qu'elle a plus de précision et qu'elle rappelle de plus près le vers de l'*Odyssée*, VII, 24, dont s'est inspiré le poëte : καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω.

170. Τέῳ équivaut à τίνι, et il y a ainsi deux interrogations.

172. Τυφλὸς ἀνήρ. La légende d'Homère aveugle est née de ce vers; car, comme on le voit par la double affirmation de Thucydide, l'*Hymne à Apollon délien* était compté parmi les ouvrages authentiques d'Homère : δηλοῖ δὲ μάλιστα Ὅμηρος, dit-il avant sa première citation; il dit, après la seconde : τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν. — Οἰκεῖ δὲ Χίῳ ἔνι. C'est de là aussi qu'est née l'opinion qui

τοῦ περ καὶ μετόπισθεν ἀριστεύσουσιν ἀοιδαί.
Ἡμεῖς δ' ὑμέτερον κλέος οἴσομεν, ὅσσον ἐπ' αἶαν
ἀνθρώπων στρεφόμεσθα πόλεις εὐναιεταώσας· 175
οἱ δ' ἐπὶ δὴ πείσονται, ἐπεὶ καὶ ἐτήτυμόν ἐστιν.
Αὐτὰρ ἐγὼν οὐ λήξω ἑκηβόλον Ἀπόλλωνα
ὑμνέων ἀργυρότοξον, ὃν ἠΰκομος τέκε Λητώ.

II

ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ.

Prélude de l'hymne (1-28). Incertitude simulée du poëte (29-37). Voyage d'Apollon à la recherche d'un lieu favorable à l'établissement de son sanctuaire (38-65). Conversation avec Telphuse (66-98). Arrivée du dieu à Crisa; fondation du temple de Delphes (99-126). Épisode de Typhon (127-177). Apollon tue le serpent de Crisa, et se venge de Telphuse (178-209). Il choisit pour desservir son temple des Crétois qui naviguaient vers Pylos; il force leur navire à faire le tour du Péloponnèse, et il les fait aborder à Crisa (210-272). Là, il leur fait connaitre ses desseins et dissipe leurs craintes (273-308).

[Ὦ ἄνα, καὶ Λυκίην καὶ Μῃονίην ἐρατεινὴν
καὶ Μίλητον ἔχεις, ἔναλον πόλιν ἱμερόεσσαν·

faisait naître Homère à Chios, opinion générale en Grèce au siècle de Thucydide, et dont témoigne, dès le commencement de ce siècle, le fameux vers de Simonide de Céos : ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ. — Quelques-uns prétendent que l'hymne finit avec le vers 172, et ils allèguent pour preuve l'expression de Thucydide, ἐτελεύτα τοῦ ἐπαίνου ἐς τάδε τὰ ἔπη. Mais il s'agit là de la fin de l'éloge des fêtes de Délos, et non de la fin de l'hymne : ἔπαινος n'est pas synonyme de προοίμιον.

173. Τοῦ περ καὶ μετόπισθεν ἀριστεύσουσιν ἀοιδαί. Je donne ce vers tel qu'il a été corrigé par Hermann et adopté par Baumeister. La vulgate laisse en effet à désirer : τοῦ πᾶσαι μετόπισθεν ἀριστεύουσιν ἀοιδαί. Le mot πᾶσαι est inadmissible, et le présent ἀριστεύουσιν ne va pas du tout avec μετόπισθεν. La correction fait disparaître toute difficulté. Le poëte dit qu'il sera célèbre dans la postérité même, c'est-à-dire que sa gloire ne sera point bornée au temps présent comme celle de la plupart des aèdes.

174. Ἡμεῖς est emphatique et dans le sens de ἐγώ. Il ne s'agit pas des aèdes de Chios en général, mais de celui-là seul qui vient de faire son propre éloge. — Ὑμέτερον. La prétendue variante ἡμέτερον n'est qu'une faute d'iotacisme. Le vers, avec cette leçon, n'aurait plus aucun sens.

176. Ἐπί doit être joint à πείσονται.

177-178. Αὐτὰρ ἐγὼν οὐ λήξω.... Le poëte termine par la même pensée qu'il a exprimée au début.

II. 1-3. Ὦ ἄνα,... Ces trois vers sont une

αὐτὸς δ' αὖ Δήλοιο περικλύστης μέγ' ἀνάσσεις.]
Εἶσι δὲ φορμίζων Λητοῦς ἐρικυδέος υἱὸς
φόρμιγγι γλαφυρῇ πρὸς Πυθὼ πετρήεσσαν, 5
ἄμβροτα εἵματ' ἔχων τεθυωμένα· τοῖο δὲ φόρμιγξ
χρυσέου ὑπὸ πλήκτρου καναχὴν ἔχει ἱμερόεσσαν.
Ἔνθεν δὲ πρὸς Ὄλυμπον ἀπὸ χθονός, ὥστε νόημα,
εἶσι Διὸς πρὸς δῶμα, θεῶν μεθ' ὁμήγυριν ἄλλων·
αὐτίκα δ' ἀθανάτοισι μέλει κίθαρις καὶ ἀοιδή. 10
Μοῦσαι μέν θ' ἅμα πᾶσαι, ἀμειβόμεναι ὀπὶ καλῇ,
ὑμνεῦσίν ῥα θεῶν δῶρ' ἄμβροτα, ἠδ' ἀνθρώπων
τλημοσύνας, ὅσ' ἔχοντες ὑπ' ἀθανάτοισι θεοῖσιν
ζώουσ' ἀφραδέες καὶ ἀμήχανοι, οὐδὲ δύνανται
εὑρέμεναι θανάτοιό τ' ἄκος καὶ γήραος ἄλκαρ. 15
Αὐτὰρ ἐϋπλόκαμοι Χάριτες καὶ ἐΰφρονες Ὧραι,
Ἁρμονίη θ' Ἥβη τε, Διὸς θυγάτηρ τ' Ἀφροδίτη,
ὀρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι·
τῇσι μὲν οὔτ' αἰσχρὴ μεταμέλπεται οὔτ' ἐλάχεια,
ἀλλὰ μάλα μεγάλη τε ἰδεῖν καὶ εἶδος ἀγητή, 20
Ἄρτεμις ἰοχέαιρα, ὁμότροφος Ἀπόλλωνι.
Ἐν δ' αὖ τῇσιν Ἄρης καὶ ἐΰσκοπος Ἀργειφόντης

interpolation, à l'aide de laquelle on avait rattaché tant bien que mal les deux hymnes *Délien* et *Pythien* l'un à l'autre. Au lieu de ce médiocre début, quelques-uns mettent ici quatre beaux vers empruntés à l'hymne XXI. Mais ces quatre vers eux-mêmes, adressés directement à Phébus, s'accordent aussi imparfaitement que ceux-ci avec εἶσι δὲ φορμίζων, où il s'agit du dieu à la troisième personne.

5. Πρὸς Πυθὼ πετρήεσσαν. Voyez plus bas, vers 103-107, la description de la contrée de Delphes.

6. Τεθυωμένα. Les manuscrits donnent τε θυώδεα, ce qui n'a pas de sens. Quelques-uns proposent de lire εὐωδέα, mais la correction de Barnes, τεθυωμένα, semble avoir le caractère de l'évidence, d'après ce vers cité par Athénée, où Stasinus dit, en parlant d'Aphrodite ou Vénus, τεθυωμένα εἵματα ἕστο.

7. Καναχὴν ἔχει, expression d'Homère, *Iliade*, XVI. 105. Quelques-uns changent ἔχει en χέει, probablement parce que l'expression, chez Homère, désigne un fracas; mais l'épithète ἱμερόεσσαν approprie cette expression à la musique. D'ailleurs il y a un autre exemple homérique, *Iliade*, XVIII, 495, qui va très-bien ici : αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον.

8. Ὥστε νόημα, comme une pensée : aussi vite que la pensée. Cette comparaison est deux fois chez Homère, *Iliade*, XV, 80 et *Odyssée*, VII, 36. Voyez les notes sur ces deux passages.

9. Θεῶν μεθ' ὁμήγυριν ἄλλων, emprunt homérique, *Iliade*, XX, 142.

12. Θεῶν δῶρ' ἄμβροτα, par opposition à ce qui suit, désigne la vie bienheureuse des dieux. C'est l'équivalent du ῥεῖα ζώοντες d'Homère.

16. Αὐτάρ correspond au μέν du vers 11. C'est au chant des Muses que dansent les déesses qui vont être nommées.

18. Ὀρχεῦντ', ἀλλήλων.... Vers emprunté à l'*Iliade*, XVIII, 594.

19-21. Τῇσι μὲν.... Le poëte s'est évidemment inspiré du célèbre passage de

παίζουσ'· αὐτὰρ ὁ Φοῖβος Ἀπόλλων ἐγκιθαρίζει,
καλὰ καὶ ὕψι βιβάς· αἴγλη δέ μιν ἀμφιφαείνει
μαρμαρυγαί τε ποδῶν καὶ ἐϋκλώστοιο χιτῶνος. 25
Οἱ δ' ἐπιτέρπονται θυμὸν μέγαν, εἰσορόωντες,
Λητώ τε χρυσοπλόκαμος καὶ μητίετα Ζεύς,
υἷα φίλον παίζοντα μετ' ἀθανάτοισι θεοῖσιν.
Πῶς τ' ἄρ σ' ὑμνήσω, πάντως εὔυμνον ἐόντα;
Ἠέ σ' ἐνὶ μνηστῆρσιν ἀείδω καὶ φιλότητι, 30
ὅππως μνωόμενος ἔχιες Ἀζανίδα κούρην,
Ἴσχυ' ἅμ' ἀντιθέῳ, Ἐλατιονίδῃ εὐΐππῳ;
ἢ ἅμα Φόρβαντι, Τριόπου γένει, ἢ ἅμ' Ἐρεχθεῖ,
ἢ ἅμα Λευκίππῳ καὶ Λευκίπποιο δάμαρτι

l'*Odyssée*, VI, 105-109, qui a fourni à Virgile la matière de si beaux vers. Voyez les notes sur ce passage.

24. Καλὰ καὶ ὕψι βιβάς. Cette démarche belle et majestueuse est une sorte de danse. Voyez plus bas, vers 338.

25. Μαρμαρυγαί a été changé par quelques-uns en μαρμαρυγῆς, génitif causal. La vulgate semble plus poétique, précisément à cause des deux nominatifs et du verbe pluriel sous-entendu. Baumeister, qui a adopté la correction, ne la regarde pas comme définitive; car il se demande si l'on ne devrait pas remplacer μαρμαρυγαί τε par μαρμαρόεσσα, épithète de αἴγλη. Mais αἴγλη ποδῶν serait une expression un peu hasardée.

26. Οἱ (eux) a pour apposition explicative tout le vers 27, qui caractérise ces deux spectateurs.

29. Πῶς τ' ἄρ. La correction πῶς γάρ, que Bothe regarde comme indispensable, ne l'est pas du tout, et la vulgate s'explique on ne peut mieux.

30. Ἠέ σ' ἐνὶ μνηστῆρσιν.... Ce vers ne donne pas un sens net, soit que l'on garde μνηστῆρσιν, soit qu'on le change en μνηστῇσιν. L'idée du poëte est évidemment celle-ci : « Sont-ce tes amours que je dois chanter? » Le vers dit à peu près cela; mais il le dit très-mal, et son texte est évidemment corrompu.

31. Ἀζανίδα κούρην. On suppose qu'il s'agit de Coronis, la mère d'Esculape. Les manuscrits donnent Ἀζαντίδα, qui ne s'entend point; mais Ἀζανίδα ne s'entend guère. C'est par une pure hypothèse qu'on en fait un synonyme de Ἀρκαδικήν, et cette épithète d'Arcadienne ne convient pas du tout à Coronis, puisqu'elle était fille de Phlégyas, et par conséquent Thessalienne. Dire qu'elle a épousé l'Arcadien Ischys, c'est ne rien dire; car le poëte songe à ce qu'était la jeune fille aimée d'Apollon, et nullement à ce qu'elle est devenue après qu'Apollon l'a laissée à son rival. Schneidewin proposait une correction qui rendrait le vers très-net : Φλεγυηΐδα. Baumeister dit que c'est trancher le nœud gordien. Mais peut-on le dénouer? Bothe croit en être venu à bout. Il remplace Ἀζαντίδα par Ἀζωρίδα, qui, selon lui, signifie Thessalienne, parce qu'il y avait en Thessalie une ville d'Azore. Mais je ne vois pas que personne ait adopté sa correction. Baumeister ne la mentionne même pas.

32. Ἴσχυ' ἅμ(α), en même temps qu'Ischys : ayant Ischys pour rival.

33-35. Ἢ ἅμα Φόρβαντι,... Ces trois vers n'offrent aucun sens raisonnable, et pas une des corrections qu'on a essayées n'a pu rétablir une suite d'idées plausible. Baumeister approuve la correction faite par Schneidewin au vers 33 : ἢ ὡς Φόρβαντα, Τριόπεω γένος, ἢ Ἀμάρυνθον. Il s'agirait alors non plus des rivaux du dieu, mais de ses mignons. Reste à prouver, ce que Baumeister ne fait point, que le poëte a pu mêler ensemble des choses si disparates, et employer μνωόμενος dans le sens d'une inavouable luxure. — Cet Amarynthus dont on introduit ainsi le nom dans le vers 33 a été le père de Narcisse. — Quant aux

πεζὸς, ὁ δ' ἵπποισιν· οὐ μὴν Τρίοπός γ' ἐνέλειπεν· 35
ἢ ὡς τὸ πρῶτον χρηστήριον ἀνθρώποισιν
ζητεύων κατὰ γαῖαν ἔβης, ἑκατηβόλ' Ἄπολλον;
Πιερίην μὲν πρῶτον ἀπ' Οὐλύμποιο κατῆλθες·
Λέκτον τ' Ἠμαθίην τε παρέστιχες ἠδ' Ἐνιῆνας,
καὶ διὰ Περραιβούς· τάχα δ' εἰς Ἰαωλκὸν ἵκανες, 40
Κηναίου τ' ἐπέβης ναυσικλειτῆς Εὐβοίης.
Στῆς δ' ἐπὶ Ληλάντῳ πεδίῳ· τό τοι οὐχ ἅδε θυμῷ
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα.
Ἔνθεν δ' Εὔριπον διαβὰς, ἑκατηβόλ' Ἄπολλον,
βῆς ἀν' ὄρος ζάθεον, χλωρόν· τάχα δ' ἷξες ἀπ' αὐτοῦ, 45
ἐς Μυκαλησὸν ἰὼν καὶ Τευμησὸν λεχεποίην·
Θήβης δ' εἰσαφίκανες ἕδος καταειμένον ὕλῃ·
οὐ γάρ πώ τις ἔναιε βροτῶν ἱερῇ ἐνὶ Θήβῃ,
οὐδ' ἄρα πω τότε γ' ἦσαν ἀταρπιτοὶ οὐδὲ κέλευθοι
Θήβης ἂμ πεδίον πυρηφόρον, ἀλλ' ἔχεν ὕλη. 50
Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον,
Ὀγχηστόν θ' ἷξες, Ποσιδήϊον ἀγλαὸν ἄλσος·

vers 34 et 35, on suppose avec quelque vraisemblance qu'ils ne sont que des débris d'une phrase qui avait quatre vers, mais dont il est impossible de restaurer l'ensemble. Le vers 35 n'est même pas entier dans les manuscrits. Il n'en reste que ces mots : πεζὸς, ὁ δ' ἵπποισιν· οὐ μήν, et ce qu'on y a ajouté pour parfaire le mètre semble n'être qu'une note marginale du vers 33, laquelle n'a rien à voir ici, et un arrangement du mot qui indiquait lacune : ΕΛΛΕΙΠΕΙ.

36-37. Ἢ ὡς τὸ πρῶτον.... Le poëte attribue une importance capitale à cette recherche d'un sanctuaire. Le voyage que va faire Apollon rappelle celui de Latone dans l'*Hymne délien*.

38. Πιερίην. Voyez le vers XIV, 226 de l'*Iliade* et les notes sur ce vers.

39-46. Λέκτον τ' Ἠμαθίην τε.... Tous les lieux mentionnés dans cette énumération sont bien dans l'ordre où le dieu a dû successivement les visiter, excepté pourtant le Lectum par où l'énumération commence. C'est un promontoire de la Troade. On remplace ordinairement Λέκτον par Λεῦκον, qui désigne une rivière de Macédoine, ou par Λύγκον, qui est un canton de la même contrée. Baumeister donne Λάκμον, conjecture assez plausible, puisque le Lacmon était une montagne de la chaîne du Pinde, entre la Thessalie et l'Épire.

45. Ὄρος ζάθεον, χλωρόν. Quelques-uns supposent qu'il manque un vers, où se trouvait le nom de la montagne. Cette hypothèse est inutile. Dès que le poëte a dit que cette montagne est au delà de l'Euripe, il n'y a pas un de ses auditeurs qui ne sache que c'est le Messape.

46. Λεχεποίην, épithète homérique. Voyez l'*Iliade*, II, 697.

47-50. Θήβης δ' εἰσαφίκανες.... Le poëte nous transporte à une époque très-ancienne, ou du moins à une époque antérieure aux temps héroïques; car Thèbes, qui n'existe point encore, était une des villes les plus anciennes de la Grèce.

51. Προτέρω, comme πορρωτέρω : plus avant. Cet adverbe est assez fréquent chez Homère.

52. Ὀγχηστόν θ' ἷξες,... Appropriation d'un vers de l'*Iliade*, II, 505. Voyez la note sur ce vers.

ἔνθα νεοδμὴς πῶλος ἀναπνέει ἀχθόμενος κῆρ,
ἕλκων ἅρματα καλά· χαμαὶ δ' ἐλατὴρ ἀγαθός περ,
ἐκ δίφροιο θορὼν, ὁδὸν ἔρχεται· οἱ δὲ τέως μὲν 55
κείν' ὄχεα κροτέουσιν, ἀνακτορίην ἀφιέντες.
Εἰ δέ κεν ἅρματ' ἄγωσιν ἐν ἄλσεϊ δενδρήεντι,
ἵππους μὲν κομέουσι, τὰ δὲ κλίναντες ἐῶσιν.
Ὣς γὰρ τὰ πρώτισθ' ὁσίη γένεθ'· οἱ δὲ ἄνακτι
εὔχονται, δίφρον δὲ θεοῦ τότε μοῖρα φυλάσσει. 60

53-60. Ἔνθα νεοδμὴς πῶλος.... Le poëte décrit avec une rare précision les courses qui avaient lieu à Oncheste en l'honneur de Neptune. Il ne s'agit que de bien distinguer chaque détail de la description.

53. Ἔνθα (là où) se rapporte à Ὀγχηστον, et non à ἄλσος. Voyez plus bas le vers 57. La course se fait dans la plaine, et le bois sacré est le point d'arrivée. — Νεοδμὴς πῶλος. C'est le hasard qui doit décider, et c'est pour cela qu'on emploie des chevaux tout neufs. — Ἀχθόμενος κῆρ, leçon d'Ilgen, généralement adoptée. Voyez ἤχθετο γὰρ κῆρ, *Iliade*, XI, 274. Le verbe ἄχθομαι se dit spécialement des peines de cœur. Le jeune cheval est peu satisfait d'être attelé. Baumeister a préféré la leçon des manuscrits, ἀχθόμενός περ, bien que le vers suivant se termine par ἀγαθός περ. Il est vrai que les Grecs, comme le remarque Baumeister, ne répugnaient pas aux répétitions de ce genre. Mais il y a toute apparence qu'un imitateur d'Homère a dû écrire ἀχθόμενος κῆρ. L'application de cette expression à un cheval se justifie par l'exemple homérique plus haut cité, et encore par ἀχνυμένω κῆρ, *Iliade*, XXIII, 284, qui est dit des chevaux d'Achille. Au reste ἀχθόμενος à lui seul signifie la même chose que ἀχθόμενος κῆρ. — Il y a un exemple homérique de ἄχθομαι au sens matériel (être chargé), et quelques-uns voudraient l'appliquer ici, ce qui confirmerait la leçon des manuscrits, ἀχθόμενός περ. Mais on ne peut pas dire d'un cheval attelé à un bige qu'il est chargé. Le joug même qui le réunit à son compagnon n'est point une charge, ni surtout un chargement; et c'est du chargement d'un navire qu'il s'agit dans ἤχθετο, *Odyssée*, XV, 457.

55. Ἐκ δίφροιο θορών. Une fois l'attelage lancé, le conducteur descend, abandonnant ses chevaux à eux-mêmes et les suivant à pied de loin. — Οἱ δέ, quant à eux, c'est-à-dire quant aux deux chevaux. La glose *aurigæ*, dans l'Homère-Didot, est un lapsus de l'éditeur.

56. Κείν' ὄχεα κροτέουσιν est une expression d'Homère, *Iliade*, XV, 453. Voyez la note sur ce vers. — Ἀνακτορίην ἀφιέντες n'exprime que le fait : débarrassés de commandement, c'est-à-dire devenus absolument libres. Ils n'y sont pour rien, puisque c'est le conducteur qui est volontairement descendu.

57. Ἄγωσιν a pour sujet οἱ, c'est-à-dire ἵπποι. — Ἐν ἄλσεϊ. Une fois dans le bois sacré, les chevaux y restent. De là ἐν ἄλσεϊ, et non εἰς ἄλσος.

58. Κομέουσι a pour sujet ἐλατῆρες sous-entendu ; de même ἐῶσιν. — C'est à ce vers, ou plus bas, vers 59, en regard de οἱ δέ, que serait bien placée la glose *aurigæ*, qui n'a pas de sens au vers 55. — On peut aussi entendre κομέουσι et ἐῶσιν d'une façon générale : on soigne, on laisse. Ce seraient les serviteurs du dieu qui feraient cela. Mais les ἐλατῆρες eux-mêmes ne sont-ils pas des serviteurs du dieu hippique par excellence? — Τά, c'est-à-dire ἅρματα. — Κλίναντες. On remisait les chars en relevant le timon contre le mur du hangar ou de la galerie. Voyez le vers caractéristique, ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα, *Iliade*, VIII, 435 et *Odyssée*, IV, 42.

59. Ὥς, ainsi : comme je viens de la décrire. — Ὁσίη, la chose sainte, c'est-à-dire le rite consacré. Ce féminin substantivé est deux fois chez Homère, *Odyssée*, XVI, 423 et XXII, 412, dans la formule οὐχ ὁσίη : *non fas* (*est*), il n'est pas permis. — Οἱ, c'est-à-dire ἐλατῆρες : les conducteurs de chars. — Ἄνακτι, au souverain : à Neptune.

60. Θεοῦ.... μοῖρα, la puissance du dieu : le dieu par sa protection.

Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
[Κηφισὸν δ' ἄρ' ἔπειτα κιχήσαο καλλιρέεθρον,
ὅστε Λιλαίηθεν προχέει καλλίρροον ὕδωρ.
Τὸν διαβὰς, Ἑκάεργε, καὶ Ὠκαλέην πολύπυργον,
ἔνθεν ἄρ' εἰς Ἁλίαρτον ἀφίκεο ποιήεντα.] 65
Βῆς δ' ἐπὶ Τελφούσης· τόθι τοι ἅδε χῶρος ἀπήμων
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα·
στῆς δὲ μάλ' ἄγχ' αὐτῆς, καί μιν πρὸς μῦθον ἔειπες·
Τελφοῦσ', ἐνθάδε δὴ φρονέω περικαλλέα νηὸν,
ἀνθρώπων τεῦξαι χρηστήριον, οἵτε μοι αἰεὶ 70
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δέ τ' ἐγὼ νημερτέα βουλὴν
πᾶσι θεμιστεύοιμι, χρέων ἐνὶ πίονι νηῷ. 75
Ὣς εἰπὼν διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων,
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· ἡ δ' ἐσιδοῦσα
Τελφοῦσα κραδίην ἐχολώσατο, εἶπέ τε μῦθον·

61. Ἔνθεν δὲ προτέρω.... Répétition du vers 54. Voyez la note sur ce vers.

62-65. Κηφισὸν δ' ἄρ' ἔπειτα.... Cet itinéraire laisse à désirer sous le rapport de l'exactitude géographique. On doit d'autant plus considérer les vers 62-65 comme une interpolation, que l'auteur de l'hymne est un poëte de Béotie, et qui doit connaître son pays. Ces quatre vers sont d'ailleurs fort médiocres, et l'un d'eux, le vers 63, appartient à Hésiode. Cependant quelques-uns maintiennent l'authenticité, disant qu'il faut bien accorder quelque chose au caprice des poëtes, et discutant le témoignage des scholiastes d'Homère sur l'origine du vers 63. Tout ce qu'il y a d'un peu remarquable dans les vers 62-65, c'est que les deux premiers ont été inspirés par les vers d'Homère sur le Céphise de Phocide, *Iliade*, II, 522-523. Voyez les notes relatives à ce passage.

66. Τελφούσης. Telphuse est tout à la fois et une fontaine et la nymphe qui préside à cette fontaine. — Ἀπήμων, sans mal, c'est-à-dire agréable.

67. Τεύξασθαι, comme ὥστε τεύξασθαι : pour te faire à toi-même.

70. Ἀνθρώπων.... χρηστήριον, apposition à νηόν.

72. Πελοπόννησον. Ce nom est inconnu d'Homère.

73. Εὐρώπην. Ce nom, comme celui de Péloponnèse, est d'une époque posthomérique. Il signifie le pays du couchant; et il désigne ici toute la partie du continent qu'habitaient les Grecs, par opposition à l'Asie et aux îles de l'Archipel. — Ἀμφιρύτας, et non ἀμφιρύτους. Homère emploie toujours la forme féminine.

74. Χρησόμενοι, pour consulter l'oracle. — Τοῖσιν δέ τ' ἐγώ, selon quelques-uns, doit être changé en τοῖσιν δέ κ' ἐγώ. Mais l'optatif n'a pas besoin de la particule pour prendre le sens du futur. Il est par lui-même un futur d'une nuance particulière. Voyez la note du vers suivant sur θεμιστεύοιμι.

75. Θεμιστεύοιμι, je veux prononcer : je prononcerai. — Χρέων, comme χράων : rendant des oracles.

77. Διηνεκές, d'une façon continue : de manière à former un édifice. — Ἡ δ' ἐσιδοῦσα. Les digammistes veulent qu'on écrive ἡ δὲ ἰδοῦσα. Mais le poëte, en général, s'inquiète fort peu de la lettre éo-

Φοῖβε ἄναξ, ἑκάεργε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
ἐνθάδ' ἐπεὶ φρονέεις τεῦξαι περικαλλέα νηὸν, 80
ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτε τοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας·
ἀλλ' ἔκ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
πημανέει σ' αἰεὶ κτύπος ἵππων ὠκειάων,
ἀρδόμενοί τ' οὐρῆες ἐμῶν ἱερῶν ἀπὸ πηγέων. 85
[Ἔνθα τις ἀνθρώπων βουλήσεται εἰσοράασθαι
ἅρματά τ' εὐποίητα καὶ ὠκυπόδων κτύπον ἵππων,
ἢ νηόν τε μέγαν καὶ κτήματα πόλλ' ἐνεόντα.]
Ἀλλ' εἰ δή τι πίθοιο (σὺ δὲ κρείσσων καὶ ἀρείων
ἐσσὶ, ἄναξ, ἐμέθεν, σεῦ δὲ σθένος ἐστὶ μέγιστον) 90
ἐν Κρίσῃ ποίησαι ὑπὸ πτυχὶ Παρνησοῖο.
Ἔνθ' οὔθ' ἅρματα καλὰ δονήσεται, οὔτε τοι ἵππων
ὠκυπόδων κτύπος ἔσται ἐΰδμητον περὶ βωμόν.
Ἀλλ' ἀκέων προσάγοιεν Ἰηπαιήονι δῶρα

lienne. Dans certains passages empruntés à Homère, il laisse les hiatus caractéristiques; mais cela ne l'engage personnellement à rien. D'ailleurs ἐσιδοῦσα paraît ici une expression préférable au simple ἰδοῦσα. Telphuse n'a pas vu seulement, elle a examiné.

80. Ἐνθάδ' ἐπεὶ φρονέεις. Hermann voudrait que le vers commençât par ἐπειδή, à cause des passages où Homère parle ainsi. Mais on cite au moins un passage homérique analogue à celui-ci, *Odyssée*, VIII, 236 : ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα....

81. Ἔμμεναι, pour être : pour qu'il soit.

83. Ἀλλ' ἔκ τοι.... Ce vers est souvent répété chez Homère.

84. Πημανέει σ(ε), te fera du mal : te sera insupportable. Voyez plus haut, vers 66, χῶρος ἀπήμων. — Κτύπος ἵππων, d'après ce qui va suivre, ne fait point allusion à des courses. Il ne s'agit que des chevaux qui viennent s'abreuver à la fontaine : ἀρδομένων est sous-entendu. Ils arrivent au galop et en foule.

85. Πηγέων est dissyllabe par synizèse.

86-88. Ἔνθα τις ἀνθρώπων.... Ces trois vers n'ont pas beaucoup de sens, et ils semblent tout à fait inutiles.

86. Βουλήσεται, préférera. Le verbe βούλομαι, chez Homère, a souvent cette signification. On sous-entend μᾶλλον, mais cela est inutile. Dès que la volonté se porte vers un objet, il y a préférence.

87. Κτύπον dépend de εἰσοράασθαι, qui équivaut ici à ἀκούειν. Les poëtes échangent souvent les verbes qui marquent les opérations des sens.

89. Ἀλλ' εἰ δή τι πίθοιο. Homère dit, ἀλλ' εἴ μοί τι πίθοιο, *Iliade*, VII, 28 et *Odyssée*, XX, 381. Quelques-uns pensent qu'on devrait mettre ici la formule homérique; mais à quoi bon, puisque la vulgate a exactement le même sens? Le poëte n'est pas tenu d'être homérique à un monosyllabe près.

91. Ποίησαι, sous-entendu νηόν : fais-toi un temple.

92-93. Ἔνθ' οὔτ' ἅρματα.... D'après ceci, l'hymne doit être antérieur à l'établissement des jeux Pythiques.

94. Ἀλλ' ἀκέων, correction de Baumeister, *vulgo* ἀλλὰ καὶ ὥς, qui ne s'entend pas bien ici. Ἀκέων est adverbe, et signifie en silence. Voyez l'*Odyssée*, XXI, 89. On verra cet adverbe dans l'hymne même, vers 226. L'expression, après ce que vient de dire Telphuse, convient ici à merveille. Il n'y aurait de difficulté que si l'on prenait, au vers 95, κλυτά dans le sens étymologique (bruyantes), comme on le fait quelquefois chez Homère. Mais cette épithète n'indique que la beauté des fêtes

ἀνθρώπων κλυτὰ φῦλα· σὺ δὲ φρένας ἀμφιγεγηθὼς 95
δέξαι' ἱερὰ καλὰ περικτιόνων ἀνθρώπων.
Ὣς εἰποῦσ' Ἑκάτου πέπιθε φρένας, ὄφρα οἱ αὐτῇ
Τελφούσῃ κλέος εἴη ἐπὶ χθονὶ, μηδ' Ἑκάτοιο.
Ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
ἶξες δ' ἐς Φλεγύων ἀνδρῶν πόλιν ὑβριστάων, 100
οἳ Διὸς οὐκ ἀλέγοντες ἐπὶ χθονὶ ναιετάασκον
ἐν καλῇ βήσσῃ, Κηφισίδος ἐγγύθι λίμνης.
Ἔνθεν καρπαλίμως προσέβης πρὸς δειράδα θύων·
ἵκεο δ' ἐς Κρίσην ὑπὸ Παρνησὸν νιφόεντα,
κνημὸν πρὸς Ζέφυρον τετραμμένον, αὐτὰρ ὕπερθεν 105
πέτρη ἐπικρέμαται, κοίλη δ' ὑποδέδρομε βῆσσα,
τρηχεῖ'· ἔνθα ἄναξ τεκμήρατο Φοῖβος Ἀπόλλων
νηὸν ποιήσασθαι ἐπήρατον, εἶπέ τε μῦθον·
Ἐνθάδε δὴ φρονέω τεύξειν περικαλλέα νηὸν,

et la merveilleuse affluence des adorateurs. — Προσάγοιεν et plus loin δέξαι(ο), l'optatif dans le sens du futur. Voyez plus haut les notes des vers 74 et 76 sur τοῖσιν δέ τ' ἐγώ et sur θεμιστεύοιμι. — Ἰηπαιήονι. Le chant en l'honneur d'Apollon contenait à satiété les exclamations *iè péan!* De là ce surnom du dieu.

97. Οἱ αὐτῇ, *sibi soli*, à elle seule. Voyez, dans l'*Iliade*, VIII, 99 : Τυδείδης δ' αὐτός περ ἐών.

98. Τελφούσῃ, apposition explicative à οἱ αὐτῇ.

99. Ἔνθεν δὲ προτέρω.... Nouvelle répétition du vers 51.

100. Φλεγύων.... πόλιν. La ville des Phlégyens était Panope ou Panopée. — Ὑβριστάων. Les Phlégyens étaient à demi sauvages. Ils pillèrent à plusieurs reprises le temple de Delphes, et ravagèrent le pays consacré à Apollon.

102. Ἐν καλῇ βήσσῃ,... Baumeister regarde ce vers comme interpolé, parce que Panope était à une assez grande distance du lac du Céphise, autrement dit lac de Cope ou lac Copaïs. Mais les villes antiques ne restaient pas toujours à la même place, et rien n'empêche qu'à l'époque primitive où nous reporte le poëte, Panope ait été réellement située sur le lac.

103. Θύων, s'élançant avec impétuosité. Bothe : « Pius ex impiorum terra Phlegyarum proripit se Apollo. » — La correction de Hermann, θείων (en courant) n'est pas aussi nécessaire que le prétendent quelques-uns. Dès que la vulgate donne un sens plausible, le mieux est de la conserver. Il est vrai que θύων et θείων, c'était tout un pour les Byzantins, et qu'au fond on a le choix entre les deux mots; mais il y a beaucoup de vers d'Homère qui se terminent par θύων, ce qui est une raison pour qu'un Homéride ait préféré, à la fin du vers, θύων à θείων.

105. Κνημόν, apposition à Κρίσην. Ce mot désigne le contre-fort du Parnasse sur lequel la ville de Crisa ou Crissa était bâtie. — Πρὸς Ζέφυρον, du côté de Zéphyre, c'est-à-dire situé à l'occident.

105-107. Αὐτὰρ ὕπερθεν.... Baumeister : « Descriptio brevissima eademque « tam dilucida, ut res quasi oculis audien- « tium subjici videatur. Δειράς (vers 103) « acclivitatem totius regionis indicat; tem- « pli enim situs plus duo millia pedum « supra mare erectus est; saltum ipsum « autem, qui in occidentem vergit, ab al- « tera parte superant saxa in altitudinem « pedum mille abrupta, ab altera convallis « cava (κοίλη βῆσσα, cf. Pind. Pyth. V, « 80 κοιλόπεδον νάπος) et saxosa æqualiter « declivis ad Plistum rivulum porrigitur. »

107. Τεκμήρατο, décida.

109-115. Ἐνθάδε δὴ φρονέω.... Sauf

ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτε μοι αἰεὶ 110
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δ' ἄρ' ἐγὼ νημερτέα βουλὴν
πᾶσι θεμιστεύοιμι, χρέων ἐνὶ πίονι νηῷ. 115
Ὣς εἰπὼν διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων,
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· αὐτὰρ ἐπ' αὐτοῖς
λάϊνον οὐδὸν ἔθηκε Τροφώνιος ἠδ' Ἀγαμήδης,
υἱέες Ἐργίνου, φίλοι ἀθανάτοισι θεοῖσιν·
ἀμφὶ δὲ νηὸν ἔνασσαν ἀθέσφατα φῦλ' ἀνθρώπων 120
ξεστοῖσιν λάεσσιν, ἀοίδιμον ἔμμεναι αἰεί.
Ἀγχοῦ δὲ κρήνη καλλίρροος, ἔνθα δράκαιναν
κτεῖνεν ἄναξ, Διὸς υἱός, ἀπὸ κρατεροῖο βιοῖο,
ζατρεφέα, μεγάλην, τέρας ἄγριον, ἣ κακὰ πολλὰ

des modifications insignifiantes, c'est la répétition textuelle des vers 69-75. Voyez les notes sur ce passage. Bothe met entre crochets la dernière phrase de la répétition; mais il ne donne aucune raison spéciale de cette athétèse. Il dit simplement : *versus frustra repetiti.*

116-117. Ὣς εἰπὼν.... Répétition des vers 76-77, sauf la fin du dernier. On a rendu les deux passages identiques, en changeant le διαμπερές des manuscrits, au vers 117, en διηνεκές. Ce n'est point Baumeister qui a fait cette correction, quoi qu'il en dise. Elle était admise dès le temps de Bothe et de l'Homère-Didot. Au reste les deux adverbes sont synonymes.

118. Λάϊνον οὐδόν désigne, non pas le seuil du temple, mais le sanctuaire même. Étienne de Byzance, au mot *Delphes :* πόλις ἐπὶ τοῦ Παρνασσοῦ, πρὸς τῇ Φωκίδι, ἔνθα τὸ ἄδυτον ἐκ πέντε λίθων κατεσκεύασται, ἔργον Ἀγαμήδους καὶ Τροφωνίου. Le poëte, en disant λάϊνον οὐδόν, imite Homère, qui, dans les deux passages où il parle du sanctuaire de Pytho, s'est servi de cette expression. Voyez l'*Iliade*, IX, 404 et l'*Odyssée*, VIII, 80. — Τροφώνιος ἠδ' Ἀγαμήδης. D'après la légende, Apollon accorda aux deux frères, pour récompense, ce qu'il y avait de meilleur dans la vie, c'est-à-dire la mort. Voyez Cicéron, *Tusculanes*, I, 47, 114 et Plutarque, *Consolation à Apollonius*, chap. XIV.

119. Ἐργίνου. Erginus paraît un nom purement mythique; car il signifie *architecte*, et il a dû être inventé pour rendre compte du génie des deux frères. Mais la tradition veut que le père de Trophonius et d'Agamède ait été roi d'Orchomène, l'opulente ville des Minyens.

120. Ἀμφὶ δέ, et à l'entour : et pour envelopper ce sanctuaire. — Νηόν. Cette fois, c'est le temple proprement dit. — Ἔνασσαν, rendirent habitable, c'est-à-dire construisirent. — Ἀθέσφατα φῦλ' ἀνθρώπων est le sujet de ἔνασσαν. On doit supposer que cette multitude travaille sous la direction de Trophonius et d'Agamède; car les deux frères passaient pour les architectes du temple tout entier. Cicéron a dit, dans le passage indiqué au vers 118 : *qui quum Apollini Delphis templum ædificavissent.*

121. Ἔμμεναι, pour être : destiné à être.

122. Ἀγχοῦ, proche : à peu de distance de ce temple. — Κρήνη. Il s'agit de la fontaine de Castalie. — Δράκαιναν. C'est le serpent vulgairement nommé Python.

124. Ζατρεφέα,... Legouëz : « Le mouvement de ce vers rappelle celui du vers de Virgile (*Énéide*, III, 658), *monstrum horrendum*, etc. »

ἀνθρώπους ἔρδεσκεν ἐπὶ χθονὶ, πολλὰ μὲν αὐτοὺς, 125
πολλὰ δὲ μῆλα ταναύποδ'· ἐπεὶ πέλε πῆμα δαφοινόν.
[Καί ποτε δεξαμένη χρυσοθρόνου ἔτρεφεν Ἥρης
δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσιν·
ὅν ποτ' ἄρ' Ἥρη ἔτικτε, χολωσαμένη Διὶ πατρὶ,
εὖτ' ἄρα δὴ Κρονίδης ἐρικυδέα γείνατ' Ἀθήνην 130
ἐκ κορυφῆς· ἡ δ' αἶψα χολώσατο πότνια Ἥρη,
ἠδὲ καὶ ἀγρομένοισι μετ' ἀθανάτοισιν ἔειπεν·
Κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὡς ἔμ' ἀτιμάζειν ἄρχει νεφεληγερέτα Ζεὺς
πρῶτος, ἐπεί μ' ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν· 135
καὶ νῦν νόσφιν ἐμεῖο τέκε γλαυκῶπιν Ἀθήνην,
ἣ πᾶσιν μακάρεσσι μεταπρέπει ἀθανάτοισιν·
αὐτὰρ ὅγ' ἠπεδανὸς γέγονεν μετὰ πᾶσι θεοῖσιν
παῖς ἐμὸς, Ἥφαιστος, ῥικνὸς πόδας, ὃν τέκον αὐτή.
Ῥίψ' ἄρα χερσὶν ἑλοῦσα, καὶ ἔμβαλον εὐρέϊ πόντῳ· 140
ἀλλά ἑ Νηρῆος θυγάτηρ, Θέτις ἀργυρόπεζα,
δέξατο, καὶ μετὰ ᾗσι κασιγνήτῃσι κόμισσεν.

125. Αὐτούς (à eux-mêmes) est opposé à μῆλα.

126. Ταναύποδ(α), épithète homérique. Voyez, *Odyssée*, IX, 464, la note sûr ce mot.

127-177. Καί ποτε.... Cette histoire de Typhon n'a aucun rapport avec le sujet de l'hymne; et l'interpolation est d'autant plus manifeste, que le vers 178 va parfaitement à la suite du vers 126. Mais il faut dire que la narration interpolée a un caractère archaïque, et appartient à une poésie plus ancienne encore que celle de l'hymne lui-même.

127. Δεξαμένη, sous-entendu δράκαινα. Voyez plus haut δράκαιναν, vers 122. — Ἥρης, comme παρὰ Ἥρης. Voyez δεξάμενοι Ῥείης, *Iliade*, XIV, 203.

131. Ἐκ κορυφῆς, de (sa) tête. — Ce mythe est inconnu d'Homère, ou du moins Homère n'a pas eu l'occasion de raconter comment Minerve était née; car il admet très-bien, ou semble admettre, qu'elle n'a pas eu de mère. Voyez le vers IV, 515 de l'*Iliade* et la note sur ce vers.

133. Κέκλυτέ μευ,... Vers emprunté à Homère, *Iliade*, VIII, 5, ou XIX, 101.

135. Πρῶτος est quelquefois chez Homère dans le sens de πρότερος. Voyez l'*Iliade*, XIII, 502 et XVIII, 92. Il est donc inutile de changer ici, comme le voudraient quelques-uns, πρῶτος en πρῶτον.

138. Ὅγ(ε) est expliqué au vers suivant par les appositions παῖς ἐμὸς et Ἥφαιστος. — Ὃν τέκον αὐτή, que j'ai enfanté seule. Voyez plus haut la note du vers 97. D'après cette légende, Vulcain aurait été la contre-partie de Minerve, et il serait né sans père. Chez Homère, il est fils de Jupiter et de Junon.

140. Ῥίψ' ἄρα, correction de Ilgen, *vulgo* ῥίψ' ἀνά. Avec la vulgate, les vers 139-140 se suivent très-mal, et l'on est obligé ou de corriger la fin du premier (ὅν τέ κεν αὐτή, ὅν γε μὲν αὐτή, ὅν τε καὶ αὐτή), ou de supposer, avec Baumeister, une lacune entre eux. La correction de Ilgen place du moins ῥίψ(α) au commencement d'une phrase, et rend jusqu'à un certain point raison de cet acte dénaturé, tandis que la vulgate a l'air de l'entendre comme la chose la plus simple du monde. Chez Homère, c'est Jupiter qui précipite Vulcain, lequel tombe dans l'île de Lemnos, et non dans la mer. Voyez l'*Iliade*, I, 590-594.

Ὡς ὄφελ' ἄλλο θεοῖσι χαρίζεσθαι μακάρεσσιν.
Σχέτλιε, ποικιλομῆτα, τί νῦν ἔτι μήσεαι ἄλλο;
Πῶς ἔτλης οἶος τεκέειν γλαυκῶπιδ' Ἀθήνην; 145
Οὐκ ἂν ἐγὼ τεκόμην; Καὶ σὴ κεκλημένη ἔμπης
ἦν ἄρ' ἐν ἀθανάτοισιν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
Καὶ νῦν μέν τοι ἐγὼ τεχνήσομαι, ὥς κε γένηται
παῖς ἐμοὶ, ὅς κε θεοῖσι μεταπρέποι ἀθανάτοισιν,
οὔτε σὸν αἰσχύνασ' ἱερὸν λέχος, οὔτ' ἐμὸν αὐτῆς. 150
Οὐδέ τοι εἰς εὐνὴν πωλήσομαι, ἀλλ' ἀπὸ σεῖο
τηλόθεν οὖσα θεοῖσι μετέσσομαι ἀθανάτοισιν.
Ὣς εἰποῦσ' ἀπονόσφι θεῶν κίε χωομένη κῆρ.
Αὐτίκ' ἔπειτ' ἠρᾶτο βοῶπις πότνια Ἥρη,
χειρὶ καταπρηνεῖ δ' ἔλασε χθόνα, καὶ φάτο μῦθον· 155
Κέκλυτε νῦν μοι, Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Τιτῆνές τε θεοὶ, τοὶ ὑπὸ χθονὶ ναιετάοντες

143. Ὡς ὄφελ' ἄλλο.... Baumeister : « Hoc dicit Juno : utinam Thetis aliud « quid gratum fecisset diis, id est vellem « filium meo cum dedecore natum non « sustulisset, quem ego ipsa mater extinc- « tum volueram. »

144. Σχέτλιε,... Ce vers est un centon d'Homère. Voyez l'*Odyssée*, XIII, 293 et XI, 474. — Ἄλλο, autre, c'est-à-dire plus désagréable.

146. Σή, tienne, c'est-à-dire ta fille. L'expression κεκλημένος τινός signifie toujours fils de quelqu'un.

147. Ἦν est à la troisième personne, et il a pour sujet Ἀθήνη.—Après le vers 147, quelques éditeurs en ajoutent un autre ainsi conçu : φράζεο νῦν, μή τοί τι κακὸν μητίσσομ' ὀπίσσω. On l'a recueilli aux marges d'un manuscrit. Il n'ajoute pas grand'chose au texte, et il n'est qu'une médiocre imitation du vers XXII, 358 de l'*Iliade* (φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι), ou même qu'un reflet de l'imitation de ce vers par Apollonius de Rhodes, *Argonautiques*, III, 1025 : φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ' ἀρωγήν).

150. Οὔτε σὸν.... Bothe applique ce vers à la naissance de Minerve, et le place entre les vers 147 et 148, qui sont chez lui 148 et 150.

152. Θεοῖσι μετέσσομαι. La déesse ne dit pas qu'elle séjournera parmi les dieux, mais que, là où elle sera, les dieux pourront lui faire visite.

153. Χωομένη κῆρ, expression essentiellement homérique. On ne conteste pas ici le dernier mot comme au vers 53. Voyez la note sur ce vers.

155. Χειρὶ καταπρηνεῖ, de la main renversée, c'est-à-dire du plat de la main. Voyez dans l'*Iliade*, XV, 114, la note sur χερσὶ καταπρηνέσσ(ι). C'est en frappant ainsi la terre qu'on invoquait les puissances infernales. Voyez l'*Iliade*, XIV, 273.

156. Κέκλυτε νῦν μοι. On a vu, au vers 133, κέκλυτέ μευ. Les poëtes mettaient indifféremment, avec κλύειν, le génitif ou le datif. Ceux qui cherchent une différence de sens entre κλῦθί μευ et κλῦθί μοι ne l'établissent point. Le datif ne donne pas plus que le génitif l'idée d'exaucer ou d'obéir. Tout dépend du contexte. Aussi Baumeister en revient-il à dire qu'il ne faut pas se montrer exigeant avec l'auteur de l'hymne : *sed in hunc poetam ne nimis severe agamus, dum ratio ne contradicat, multa suadent.*

157-158. Τιτῆνές τε.... Ces deux vers sont une paraphrase de celui d'Homère, *Iliade*, XIV, 279.— Τοὶ.... ναιετάοντες. Matthiæ : « Nec præcedit nec sequitur ver- « bum, quo participium ναιετάοντες refe- « ratur, sed anacoluthon est. Dicere nimi- « rum volebat οἳ ὑπὸ χθονὶ ναιετάοντες;

Τάρταρον ἀμφὶ μέγαν, τῶν ἐξ ἄνδρες τε θεοί τε·
αὐτοὶ νῦν μευ πάντες ἀκούσατε, καὶ δότε παῖδα
νόσφι Διός, μηδέν τι βίην ἐπιδευέα κείνου· 160
ἀλλ' ὅγε φέρτερος εἴη, ὅσον Κρόνου εὐρύοπα Ζεύς.
Ὣς ἄρα φωνήσασ' ἵμασε χθόνα χειρὶ παχείῃ·
κινήθη δ' ἄρα Γαῖα φερέσβιος· ἡ δ' ἐσιδοῦσα
τέρπετο ὃν κατὰ θυμόν· ὀΐετο γὰρ τελέεσθαι.
Ἐκ τούτου δὴ ἔπειτα τελεσφόρον εἰς ἐνιαυτὸν 165
οὔτε ποτ' εἰς εὐνὴν Διὸς ἤλυθε μητιόεντος,
οὔτε ποτ' ἐς θῶκον πολυδαίδαλον, ὡς τὸ πάρος περ
